καὶ πυρὸς τοῦ αἰωνίου.

ᾠδὴ η′. *Νικηταὶ τυράννου*

Ῥωμαλέᾳ γνώμῃ
πρὸς τὸ πῦρ ἐχώρησαν οἱ ἀθλοφόροι
καὶ θανατωθέντες,
πρὸς ζωὴν μετέβησαν ἀναβοῶντες·

108 ἐξαπτόμενοι H 109-110 καὶ παθῶν τοὺς πιστοὺς / βοῶντας ἀπαλλάττει Cl 110 ἐγένετο Lq 112 ὁ θεὸς τῶν πατέρων Jb 113-118 trop. om. Cl 115 πιστοὺς Lq H 116 καὶ θανατωθέντες H ἀπαλλάττει] ἀπαύστως Lq 117 τῷ Χριστῷ μελῳδεῖτε H 121 τὴν σὴν Jb
heirm. η′ EE 221, n. 316, Joannis 125 γνώμην Wz 128 τῷ Χριστῷ προσήχθησαν ἀναβοῶντες H ἀνέβησαν Lq

113-118 P. Franchi de' Cavalieri, o.c., 79: Ἐλθόντες δὲ νυκτὸς ἄνδρες εὐλαβεῖς καὶ γυναῖκες θεοσεβεῖς ἔκλεψαν τὰ σώματα τῶν ἁγίων μαρτύρων καὶ ἐπέθεντο ἐν τόπῳ σεμνῷ, εὐχὰς ἀποτελοῦντες καὶ μνείας κατὰ καιρὸν τοῦ ἁγίου αὐτῶν μαρτυρίου, τοῦ μύρου τῶν ἁγίων αὐτῶν λειψάνων πληρούμενοι.

107-110 cfr. Act. 8,32

« εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ἱερεῖα ὥσπερ
Ζωή τε καὶ Ἕσπερος σὺν τοῖς συνάθλοις
ὁλοκαυτωθέντες,
τῷ Χριστῷ προσήχθησαν ἀναβοῶντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

Νεοττοὶ καθάπερ
πετασθέντες, μάρτυρες, πτέρυξι θείαις,
καλιὰς τὰς ἄνω
χαίροντες ἐφθάσατε καὶ μελῳδεῖτε·
« εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ἱεροὶ προφῆται
ἱεραῖς ἐτράνωσαν θεηγορίαις
τὸν σεπτόν σου τόκον,
θεοτόκε πάναγνε, ᾧ μελῳδοῦμεν·
« εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ′. *Ἔφριξε πᾶσα ἀκοὴ*

Ὡς θείας, μάρτυρες, ζωῆς
κληρονόμοι γεγονότες, ἠνέγκατε
χρονίαν κάθειρξιν,
λιμῷ καὶ δίψει ἐκδαπανώμενοι,
ξεσμούς τε σώματος δεινοὺς

131-136 trop. om. H 132 τε om. Cm καὶ Ἕσπερος] ἀνέσπερος Cm Lq συνάθλοις] φιλτάτοις Cm Lq Wz Jb 134 πρὸς ζωὴν μετέβησαν ἀναβοῶντες Cl 138 μάρτυρες] ἤρθητε H πτέρυξ Wz 139 τὰς] τὲ H 140 μελῳδοῦσα Lq 143-148 θεοτ. om. Cm 144 ἐτρανώσας Lq
heirm. θ′ EE 222, n. 317, Joannis 150 ἠνέγκασθε H 152 λημῶν Lq ἐκδαπανώμενοι] ἐκπιεζόμενοι H 153 σώματος] στόματος Lq

καὶ θάνατον ἄδικον·
διὸ τὴν μνήμην ὑμῶν
ἐκτελοῦντες τὸν Χριστὸν μεγαλύνομεν.

Σήμερον ἄγει ἑορτὴν
ὁ λαὸς ὁ τοῦ Θεοῦ, παναοίδιμοι,
ἐπὶ τῇ μνήμῃ ὑμῶν
πανηγυρίζων· τὸν γὰρ ἀόρατον
ταῖς ὁρωμέναις συμπλοκαῖς
ἐχθρὸν κατεβάλετε
καὶ νίκης στέφανον
ἀνεδήσασθε, Χριστὸν μεγαλύνοντες.

῎Ηρθητε πρὸς τὰ νοητὰ
f. 6 τοῦ δεσπότου, ἀθλοφόροι, ‖ σκηνώματα,
θέσει θεούμενοι
φωτός τε θείου ἀποπληρούμενοι,
῞Εσπερε καὶ Κυριακέ,
Ζωὴ καὶ Θεόδουλε·
διὸ αἰτήσασθε
ἱλασμὸν ἁμαρτιῶν ταῖς ψυχαῖς ἡμῶν.

θεοτ. Φέρουσα Λόγον τοῦ πατρὸς
ἐν χερσί σου, μητροπάρθενε δέσποινα,
χειρός με λύτρωσαι
τοῦ ἀλλοτρίου καὶ καταξίωσον
ζωῆς τυχεῖν ἀληθινῆς,
ἵνα μακαρίζω σε,
ἵνα δοξάζω σε,
τὴν ἐλπίδα τῶν πιστῶν καὶ κραταίωμα.

---

154 καὶ βίαιον θάνατον H ἄδικον] βίαιον Cm Lq Wz Jb 156 ἐκτελούντωντες Lq 159 τὴν μνήμην Wz 160-164 τῶν ἐκτελούντων νῦν τὰ μνημόσυνα / τὸν γὰρ ἀόρατον ἐχθρὸν / νῦν κατετροπώσαντο / καὶ νίκην ηὔραντο / τὸν Χριστὸν ἐκδυσωποῦντες σωθῆναι ἡμᾶς H 161 ἐρομέναις Lq 164 Χριστὸν] Θεὸν Lq Wz Jb 166 σκηνώματα] πανεύφημοι Cm 167 θεούμενοι ἀληθῶς H 176 τοῦ ἀλλοτρίου] παραπτώσεων Jb 179 v. om. Lq Wz 180 κραταίωμα] βοήθειαν H

160-164 cfr. Hebr. 11,27

IN SANCTAM SEBASTIANAM

Synaxarium, 50*: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Σεβαστιανῆς. Αὕτη γέγονεν ἐπὶ Δομετιανοῦ τοῦ βασιλέως, ὑπάρχουσα ἐκ πόλεως Σεβαστῆς τῆς Φρυγίας· ἐδιδάχθη δὲ τὸν εὐσεβῆ λόγον ὑπὸ Παύλου τοῦ ἀποστόλου· καὶ συνεσχέθη ἐν Μαρκιανουπόλει κηρύττουσα τὸν Χριστὸν ὑπὸ τοῦ ἡγεμόνος Σεργίου· καὶ τυφθεῖσα παρ' αὐτοῦ καὶ εἰς κάμινον ἐμβληθεῖσα, τῇ τοῦ Χριστοῦ χάριτι διέμεινεν ἀβλαβής· μετὰ δὲ ταῦτα ἦλθεν εἰς 'Οδυσσόν· εἶτα εἰς 'Αγχίαλον, εἶτα εἰς 'Αρκαδιούπολιν· ἐξ ἧς κατέλαβεν 'Ηράκλειαν τὴν τῆς Θρᾴκης· ἔνθα κρατηθεῖσα παρὰ Πομπηϊανοῦ ἡγεμόνος, ἐκρεμάσθη κατὰ κεφαλῆς ἐπὶ ξύλου καὶ ἐξέσθη ἀκμαῖς σιδηρῶν ὀνύχων, καὶ λέουσι προετέθη εἰς βοράν· καὶ τῶν τοσούτων ὑπεράνω γενομένη βασάνων, τὴν διὰ ξίφους ὑπέμεινεν ἐκτομήν, ἐξ ἧς καὶ λέγεται ἀντὶ αἵματος ῥυῆναι γάλα. Τὸ δὲ σῶμα αὐτῆς ἐρρίφη ἐν θαλάσσῃ καὶ ἐκδοθὲν τοῖς πιστοῖς θείᾳ προνοίᾳ ἐτάφη ἐν 'Ραιδεστῷ.

Crypt. Δ.α. IX	= Cl,	ff. 11v-13v
Crypt. Δ.α. XXIII	= Cn,	ff. 9-11
Reg. gr. 61	= Lo,	ff. 128v-129v
Paris. gr. 1566	= Pw,	ff. 8v-12v
Paris. Coislin gr. 309	= H,	ff. 236-239

'Ο κανὼν φέρων ἀκροστιχίδα·
῏Ασμα Σεβαστιανῇ θεοειδεῖ μάρτυρι μέλπω. Θεοφάνους.

῏Ηχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

'Αγώνων μαρτυρικῶν ἐτέλεσας
τὸν δρόμον, ἔνδοξε,

(*) In die 16 septembris

tit. Τῶν ἁγίων μαρτύρων Τιμοθέου καὶ Μαύρας καὶ τῆς ἁγίας μάρτυρος Σεβαστιανῆς Cl μηνὶ τῷ αὐτῷ (Ἰουνίῳ) ε' τῆς ἁγίας μάρτυρος Σεβαστιανῆς Cn Εἰς τὸν ὄρθρον ... Pw ἑσπέρας κανὼν ... Cl acr. om. Pw H Cn nomen Θεοφάνους deest in Cl H; in margine signatum in Cn Pw Lo mutilum tradit canonem et a v. 120 sermonem abrumpit

heirm. α' EE 94, n. 133, Joannis 1 'Αγῶνα μαρτυρικὸν H 2 καὶ δόξαν ἔφθασας H

1-6 II Tim. 4,7-8

δικαιοσύνης στέφανον φέροντα
δεξαμένη δέ, πρέσβευε
δαιμονικῆς σκαιότητος
διασωθῆναι τοὺς ὑμνοῦντάς σε.

Συνέσει τῇ ἐκ Θεοῦ, ἀοίδιμε,
σαυτὴν ὁπλίσασα,
τοὺς ἐπηρμένους ᾔσχυνας ἐχθρούς,
ἐν ἀσκήσει τὸ πρότερον
καὶ ἐν ἀθλήσει δεύτερον
τούτων τὸ θράσος καταργήσασα.

Μακάριον Θέκλης κλῆρον ἔχουσα
τῆς πρωτομάρτυρος,
παρθενικῆς χορείας ἐμμελῶς
καθηγήσω λαμπρότατα
τῷ νοητῷ νυμφίῳ σου,
ταύτης τὸ κάλλος εὐτρεπίζουσα.

Ἀκτῖσιν αὐγοειδέσι λάμπουσα
πνευματικοῦ φωτισμοῦ,
σωματικαῖς, θεόφρον, καλλοναῖς
f. 12 καταλλήλως ‖ κεκόσμησαι,
τὴν ὁρατὴν εὐπρέπειαν
τῇ νοουμένῃ συγκεράσασα.

θεοτ. Σοφίας τῆς ὑπερφώτου, πάναγνε,
δοχεῖον γέγονας·
τὸν ἑαυτῆς γὰρ οἶκον ἐκ τῶν σῶν

---

3 φέροντα] λαμπρὸν Cn φέρον Cl εὑρῶν Lo φαιδρὸν Pw H 7-12 trop. om. Cn 7 ἀοίδιμε] πανεύφημε Lo Pw H 12 τούτου τὸ κράτος καταργήσασα H 13-18 trop. om. Pw 13 Μετὰ τῆς Θέκλης τὸν κλῆρον ἔχουσα Cn H Μάρτυς τὸν κλῆρον ἔχουσα Lo 15 παρθενίας Lo 18 σαυτὴν ὁσίως εὐτρεπήσασα H εὐτρεπίζουσα] ἐνοπτρίζουσα Cn 19-24 trop. om. H 22 κατηλίκος Cl 25-30 θεοτ. om. Cn, qui autem aliud adumbrat hos duos primos referens versus:

Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι
ἐκ θείου πνεύματος EV, 299

25 ὑπερφώτου] ὑπερσόφου Lo Pw H

21-24;98-99 AA.SS. Junii VI (1715) 61 § 4: Ὡς οὖν εἶδεν ὁ ἡγεμὼν τὴν ἁγίαν, ὡραίαν τῷ κάλλει καὶ τῇ ὄψει στίλβουσαν, ἐξεπλάγη ὁ τύραννος ἐπὶ τῷ κάλλει αὐτῆς...

παναχράντων αἱμάτων Χριστὸς
οἰκοδομεῖν εὐδόκησεν
πρὸς σωτηρίαν τῶν ὑμνούντων σε.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Εὐφραίνεται ἐπὶ σοὶ
τῶν νεανίδων ὁ χορός, ἔνδοξε,
τῷ βασιλεῖ πρόθυμος
ταῖς σαῖς διδαχαῖς προσαγόμενος.

Βαστάσασα τὸν σταυρὸν
ἐπὶ τῶν ὤμων εὐσεβῶς, ἔνδοξε,
δεσποτικοῖς ἴχνεσιν
ἀμεταστρεπτὶ ἠκολούθησας.

---

28 Χριστὸς] ἁγνὴ H 29 ηὐδόκησεν H 30 πρὸς] εἰς H ὑμνούντων σε] ψυχῶν ἡμῶν Pw H

heirm. γ' EE 94, n. 133, Joannis Pw hac alia ode substituit quam iam invenimus in honorem SS. Hesperi et Zoe et filiorum suorum (cfr. p. 29):

⟨εἱρμὸς⟩ *Σὺ εἶ τὸ στερέωμα, ἦχος πλ. δ'* EE 224, n. 321, Joannis

Στέργοντες τὴν μέλλουσαν
ὡς ἀληθῶς ζωήν, ἅγιοι,
περιχαρῶς
διὰ πολυτρόπων
αἰκισμῶν ἐνεκρώθητε.

Πόνους καρτερήσαντες
διὰ Χριστόν, σοφοὶ μάρτυρες,
θεοπρεπῶς
ἄπονον πρὸς λῆξιν
ἀπὸ γῆς μετετέθητε.

Ἔχοντες ἐγκάρδιον
τὴν τοῦ παντὸς τροφὴν κυρίου
οἱ εὐκλεεῖς
μάρτυρες ἐνθέως
δεομένους ἐπήρκεσαν.

θεοτ. Ῥῦσαί με πρεσβείαις σου
τῆς τῶν παθῶν, ἁγνὴ δέσποινα,
ἀπαγωγῆς
ἡ τῆς ἀπαθείας
τὸν δοτῆρα κυήσασα.

36 ἔνδοξε] πάνσοφε Cn Lo πανεύφημε H 38 ἀμετατρεπτὶ Cn

35-38 Hebr. 12,1-2

Ἀνδρείᾳ μαρτυρικῇ
καὶ καρτερίᾳ σταθηρᾷ ἤλεγξας
τὸν δυσσεβῆ τύραννον,
λόγῳ τε σοφίας, πανεύφημε.

θεοτ. Σεσάρκωται διὰ σοῦ
ὁ τοῦ πατρὸς μονογενής, δέσποινα,
τὸ τῆς σαρκὸς πρόβλημα
ἐκ τῆς σῆς γαστρὸς ἐνδυσάμενος.

---

40 σταθερᾷ H 42 τε] τῆς H σαφίᾳ Cn 43-46 aliud θεοτ. nuntiat Cn cuius duos primos refert versus:

Σὺ μόνη τοῖς ἐπὶ γῆς
τὸν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενον

pro hoc θεοτ. aliud offert H:

Σεσαρκωμένον ἡμῖν
τὸν τοῦ πατρὸς μονογενῆ τέτοκας
πάντων βροτῶν, δέσποινα,
μείνασα παρθένος ἀμόλυντος.

43 διὰ σοῦ] δι' ἡμᾶς Lo

post oden γ' hoc κάθ. legimus in Lo H:

ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*
Βασάνων αἰκισμοὺς
ἐνεγκοῦσα ποικίλους,
ἐδόξασας Χριστὸν
τοῖς σοῖς μέλεσι, μάρτυς, (= ὄντως H)
τὸν πάθη ὑπομείναντα
καὶ ἑκούσιον θάνατον·
ὃν ἱκέτευε
πάσης λυτρώσασθαι βλάβης
τοὺς τιμῶντάς σου
τὴν σεβαστὴν καὶ ἁγίαν, (καὶ om. Lo)
πανεύφημε, ἄθλησιν.

aliud κάθ. invenimus in Pw:

ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*
Παρθενίας λαμπάδα,
μάρτυς σεμνή,
ἀρδομένην ἐλαίῳ
ὡς ἀληθῶς
τῶν πόνων σου, ἔνδοξε,
διετήρησας ἄσβεστον
καὶ καλῶς τὸν δρόμον
τὸν σὸν διανύσασα,

47-52 I Cor. 7,25-38; I Tim. 4,12

ᾠδὴ δ'. *Δι' ἀγάπησιν, οἰκτίρμον,*

Τὴν λαμπροτάτην ἁγνείαν
καὶ παρθενίαν
ταῖς διδαχαῖς τοῦ Παύλου
μυηθεῖσα, θεόφρον,
σεαυτὴν ἡτοίμασας
Θεοῦ οἰκητήριον.

Ἱερωτάτην θυσίαν
καὶ σεμνοτάτην
ἀθλητικῇ πυρώσει
καὶ ποικίλαις βασάνοις
Θεῷ ὡλοκαύτωσας
σαυτήν, παμμακάριστε.

Ἀναρτωμένη τῷ ξύλῳ
καὶ ξεομένη,
τοῦ παλαιοῦ ἀνθρώπου
δερματίνους χιτῶνας
ἐξεδύσω, πάνσοφε,
ῥωσθεῖσα τῇ χάριτι.

Νενεκρωμένη τῷ κόσμῳ
καὶ τοῖς ἐν κόσμῳ,
τῷ τῆς ζωῆς αἰτίῳ

εἰς νυμφῶνα θεῖον
εἰσέδραμες χαίρουσα,
προῖκα τῷ νυμφίῳ
τῶν μελῶν τὰς στρεβλώσεις
τῶν σῶν προσενέγκασα
καὶ τὸν βίαιον θάνατον,
Σεβαστιανὴ πανεύφημε,
πρέσβευε Χριστῷ τῷ Θεῷ
⟨τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν μνήμην σου⟩.

heirm. δ' ΕΕ 97, n. 138, Joannis 47-52 trop. om. Cn 48 καὶ καρτερίαν H 50 μυηθεῖσα] μνηστευθεῖσα Lo H 52 Θεῷ φροντιστήριον H Θεοῦ] Θεῷ Pw 53-58 trop. om. H 56 ποικίλοις Cn 57 Θεῷ] Χριστῷ Cn Lo Pw ὡλοκαύτωσας] ὁλοκάρπωσας Pw 60 καὶ κεομένη H

καὶ σωτῆρι τῶν ὅλων
f. 12v ζῆν καὶ πολι||τεύεσθαι
προείλου, πανένδοξε.

θεοτ. Ἡ θεοτόκος Μαρία
καὶ θεοδόχος,
ἡ παναγία κόρη,
ἡ Θεὸν συλλαβοῦσα
τοὺς πιστῶς ὑμνοῦντάς σε
διάσωσον, δέσποινα.

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

Θερμότατον ψυχῆς
πρὸς Χριστὸν πόθον ἔχουσα,
τῆς καύσεως οὐκ ᾔσθάνου
τοῦ πυρὸς τοῦ προσκαίρου,
μαρτύρων ἐγκαλλώπισμα.

Ἑκούσιον σφαγὴν
μιμουμένη τοῦ κτίστου σου,
προσέδραμες ἑκουσίως
τῷ τοῦ ξίφους θανάτῳ,
παρθένων σεμνολόγημα.

Ὁ δίκαιος Θεὸς
ἐν βασάνοις ἀθλοῦσάν σε

θεοτ. Ἐσκήνωσεν ἐν σοί,
θεομῆτορ, ὁ ὕψιστος,
τὸν ἄνθρωπον τὸν φθαρέντα
βουληθεὶς ἀναπλάσαι,
ὁ μόνος πολυέλεος.

ᾠδὴ ς΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Ἰδών σου
τὴν καλλονὴν ψυχῆς τε καὶ σώματος
ὁ νοητός σου νυμφίος,
μυστικῇ παστάδι καὶ φωτοφόρῳ
σὲ θαλάμῳ
ὡς ἀμώμητον νύμφην προσήκατο.

Δυνάμει
τοῦ Θεοῦ κραταιᾷ παντοκράτορος
τὰς ἀλγηδόνας ὑπέστης,
θεοπνεύστῳ, μάρτυς, ἀρρενωθεῖσα
προθυμίᾳ
καὶ ῥωσθεῖσα τοῦ πνεύματος χάριτι.

Ἐθέλχθης
τῷ θερμῷ τοῦ νυμφίου σου ἔρωτι
καὶ πρὸς αὐτὸν διὰ ξίφους·

92-96 pro hoc θεοτ. aliud praebet Cu duos primos offerens versus:

ἐπορεύθης, μάρτυς, πλησθησομένη
τῆς ἐκείνου
θυμηδίας καὶ θείας ἐλλάμψεως.

θεοτ. Ἰδού σε
αἱ γενεαί, σεμνή, μακαρίζουσιν
ὡς προηγόρευσας πᾶσαι
καὶ Θεοῦ μητέρα καὶ θεοδόχον
θεοφρόνως
καὶ πιστῶς ὀνομάζουσιν, δέσποινα.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

f. 13 ‖ Μετὰ τῶν παίδων
ὡς ἐν καμίνῳ τῶν κολάσεων,
μάρτυς,
ἐμβληθεῖσα θείᾳ περιβολῇ
φρουρουμένη, ἀνεκραύγαζες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Ἀναφλεχθεῖσα
τῷ θείῳ πόθῳ καὶ τῷ ἔρωτι,
πάντων
τῶν ἐν γῇ κατέπτυσας καὶ Χριστῷ

112 πλησθησομένη] ἀρρενωθεῖσα Cn πλησθομένη Pw καὶ ἀπολαύεις H 113 προθυμίᾳ Cn 114 καὶ ῥωσθεῖσα τοῦ πνεύματος χάριτι Cn ἐλλάμψεως] λαμπρότητος Lo H τερπνότητος Pw 115-120 pro hoc θεοτ. aliud legitur in Cn:

Ὢ θαῦμα
τῶν ἁπάντων θαυμάτων καινότερον IEV, 301

117 προσηγόρευσας Pw προηγόρευσας Lo H πᾶσαι] σὺ γὰρ H 118-120 τὸν Θεὸν τεκοῦσα τὸν πρὸ αἰώνων / μακαρίους / τοὺς αὐτὸν προσκυνοῦντας ἀπέδειξας H 118 θεοδόχον] θεοτόκον Lo - hic abrumpitur canon in Lo

heirm. ζ' IEE 94, n. 133, Joannis 124 θείᾳ om. Pw 126-127 vv. om. in Cn 130 μάρτυς H 131 τῶν λεόντων ἔσβεσας τὰς ὁρμὰς H καὶ] τῷ Cn Pw

121-127 Dan. 3,46-51

εὐχαρίστως ἀνεκραύγαζες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Ῥώμῃ τῇ θείᾳ
δυναμουμένη, πανσεβάσμιε
μάρτυς,
τῶν λεόντων ᾔσχυνας τὰς ὁρμάς,
θεοφρόνως ἀναμέλπουσα·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

θεοτ. * Τῷ τοῦ ὑψίστου
ἡγιασμένον θεῖον σκήνωμα,
χαῖρε·
διὰ σοῦ γὰρ δέδοται ἡ χαρά,
θεοτόκε, τοῖς κραυγάζουσιν·
« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιήλ*

Ὑπάρχουσα πλήρης μυστικῆς
ἀγαλλιάσεως
καὶ εὐφροσύνης τῆς σῆς
στερρᾶς ἀθλήσεως ἔμπλεος
γενομένη, προθυμότατα
τὴν διὰ ξίφους τελευτὴν
ἔφερες, χαίρουσα
καὶ βοῶσα·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον ».

132 θεοφρόνως ἀναμέλπουσα H ἀνεκραύγαζες] ἀναμέλπουσα Cn Pw 137 πάντων H 138 τῶν ἐν γῇ κατέπτυσας καὶ Χριστῷ H ᾔσχυνας] ηὔνασας Cn ἴθυνας Pw 139 εὐχαρίστως ἀνεκραύγαζες H 142-148 θεοτ. MR IV, 77 144-148 vv. om. Cn 147 σοι Cl 148 ὑπάρχεις, πανάμωμε] πανάμωμε δέσποινα MR

heirm. η' IEE 94, n. 133, Joannis 152 ἔμπλεος] ἔνδοξε H 155 χαίρουσα] κράζουσα H 156 εὐλογεῖτε Cn H 157 ὑμνεῖτε] κυρίου Pw

Ῥωσθεῖσα δυνάμει τοῦ σταυροῦ
καὶ γενναιότητι
ψυχῆς, αὐτόκλητος
τὴν προκειμένην σοι ἄθλησιν
διανύσασα, κατέλαβες
τὴν αἰωνίζουσαν χαρὰν
καὶ τὴν ἀπόλαυσιν,
ἐκβοῶσα·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον ».

Ἵλεων γενέσθαι τὸν Θεὸν
τὸν σὸν νυμφίον ἡμῖν,
μάρτυς, δυσώπησον
τοῖς τὴν πανέορτον μνήμην σου
εὐσεβῶς πανηγυρίζουσιν
καὶ κοινωνοὺς τῶν ἀγαθῶν
τούτους ἀπέργασαι,
ἐκβοῶντας·
« πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον ».

θεοτ. Μητέρα πανάμωμον Θεοῦ
σὲ ὀνομάζομεν
παναληθέστατα·
Θεὸν γάρ, ἄχραντε, τέτοκας,
ἑνωθέντα καθ' ὑπόστασιν
σαρκὶ καὶ δεύτερον Ἀδὰμ
f. 13v || ἐκ σοῦ γενόμενον·
ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

158-166 trop. om. H 163 αἰωνίζουσαν] αἰωνίαν Pw 165 καὶ βοῶσα Cn 166 ὑμνεῖτε] κυρίου Pw 167 Θεὸν] Χριστὸν Cn Pw H 170 τοὺς H πανέορτον] πανίερον Cn Pw 171 πανηγυρίζοντας H 174 εἰς τὸ μέλπειν Cn 175 ὑμνεῖτε] κυρίου Pw 176-184 pro hoc primos duos versus alii θεοτ. offert Cn:

Σὺ μόνη ἐν πάσαις γενεαῖς,
παρθένε ἄχραντε, EV, 302

178 παναληθέστατον Pw H

ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Ἔνδον οὐρανίων θαλάμων
τοῖς ἀσωμάτοις συγχορεύεις
περὶ τὸν νυμφίον σου Χριστόν,
διπλαῖς ἀκτῖσι περιαστράπτουσα,
μαρτυρικῇ φαιδρότητι
καὶ παρθενίας καθαρότητι.

Λῦσαι τὰς σειρὰς τῶν πταισμάτων
καὶ τὰς οὐλὰς τῆς ἁμαρτίας
πάντων ἐξαλεῖψαι δυσώπει
τῶν εὐφημούντων, μάρτυς, τὴν μνήμην σου
τὸν εὐεργέτην κύριον
καὶ βασιλέα τῶν δυνάμεων.

Πύλαι παραδείσου, θεόφρον,
σοὶ ἠνεῴχθησαν προθύμως·
αἱ τῶν ἀσωμάτων χορεῖαι
μετ' εὐφροσύνης σὲ ὑπεδέξαντο,
τὴν πρὸς αὐτὰς ὁμοίωσιν
κατανοοῦσαι διασῴζουσαν.

θεοτ. Ὡραῖος παρὰ πάντας ἀνθρώπους,
θεογεννῆτορ, ὁ υἱός σου,
κάλλει φυσικῷ διαπρέπων
θεότητός τε καὶ ἀγαθότητος·
τοῦτον ἡμῖν τοῖς δούλοις σου
ταῖς σαῖς πρεσβείαις ἐξιλέωσαι.

heirm. θ΄ EE 94, n. 133, Joannis 186 συγχορεύεις] συνσκιρτῶσα H 189 μαρτυρικαῖς φαιδρότησιν H 191 Λῦσον H 193 ἐξαλεῖψαι δυσώπει] τῶν ἐν πίστει καὶ πόθῳ H 194 ἀνευφημούντων σοῦ τὸ μνημόσυνον H 196 τῶν δυνάμεων] ἱκετεύουσα H 197 θεόφρον] προθύμως Cn Pw H 198 ἀνεῴχθησαν H προθύμως] θεόφρον Cn Pw H 199 αἱ] καὶ H 200 ὑπεδέξατο Pw 201 αὐτὰς] αὐτοὺς Pw H ὁμοίωσιν] οἰκείωσιν H 202 κατανοοῦσαι] διαφερόντως διασῴζουσιν Cn 204 ὁ σὸς υἱὸς θεογεννῆτορ Pw 206 ἀγαθότητος] ἀνθρωπότητος Pw H

IN SANCTUM NICEPHORUM HEGUMENUM MEDICII

Synaxarium, 659-660*: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικηφόρου ἡγουμένου μονῆς τοῦ Μηδικίου. Οὗτος ὑπῆρχεν ἐπὶ τῶν χρόνων τῶν δυσσεβῶν βασιλέων καὶ εἰκονομάχων. Ἐκ βρέφους δὲ ποθήσας τὸν Χριστὸν καὶ ὁρῶν τὴν αἵρεσιν αὐξανομένην, καταλιπὼν κόσμον καὶ τὰ ἐν κόσμῳ καὶ γενόμενος μοναχὸς ἀπῆλθεν εἰς τὴν ἔρημον· καὶ ἡσύχαζεν προσευχαῖς καὶ νηστείαις σχολάζων καὶ Θεῷ ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως προσευχόμενος. Γαληνισάσης δὲ μικρὸν τῆς αἱρέσεως, ὑπὸ Λέοντος τοῦ θηριωνύμου καὶ δυσσεβοῦς βασιλέως πάλιν αὐξηθείσης, ἐξωσθεὶς τῆς ποίμνης ὡς προσκυνητὴς τῶν ἁγίων εἰκόνων καὶ ταῖς τῶν πατέρων ἐντολαῖς ἑπόμενος, καὶ πικραῖς ἐξορίαις καθυποβληθεὶς ἐν σκοτεινοτάτῃ φυλακῇ ἀπεκλείσθη, ἔνθα ὡς στερρὸς ἀθλητὴς τὴν ψυχώλεθρον ἀπάτην καταβαλὼν πρὸς Χριστόν, ὃν ἐπόθησεν, ἐξεδήμησεν.

Crypt. Δ.α. XXIX = Cm, ff. 9-11v
Mess. gr. 121 = Mh, ff. 145-147

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Νίκην κατ' ἐχθρῶν ἦρας, ὦ Νικηφόρε.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*

Νίκην Χριστὸς
σοί, Νικηφόρε, δεδώρηται
f. 9v κατὰ δαιμό‖νων, ἔνδοξε,
καὶ διαδήματι
τῆς αὐτοῦ βασιλείας
ὡς ὄντως νικηφόρος
κατακεκόσμησαι.

* In die 5 maii
tit. Τοῦ ὁσίου πατρὸς ἡμῶν Νικηφόρου ἡγουμένου Μηδικίου Cm Μηνὶ τῷ αὐτῷ (μαΐῳ) γ' τοῦ ὁσίου ...Mh Ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς Mh
heirm. α' EE 37-38, n. 51, Cosmae 2 σὺ Mh

Ἵνα τὸ σόν,
πάτερ, ὑμνήσω μνημόσυνον,
τῷ φωτισμῷ τῆς γνώσεως
καταλαμπρύνεσθαι
τὴν ζοφώδη ψυχήν μου
δυσώπει, Νικηφόρε
θεομακάριστε.

Κόσμου παντὸς
καταφρονήσας, μακάριε,
καὶ τὸν σταυρὸν ἀράμενος,
κατηκολούθησας
τῷ δεσπότῃ προθύμως,
ἐλπίδι τῶν μελλόντων
ἀγαλλιώμενος.

θεοτ. * Κατοικτειρῶν
σοῦ τῶν χειρῶν τὸ πλαστούργημα
ὁ ἐν ἐλέει πλούσιος,
μήτραν κατῴκησας
ἀπειράνδρου παρθένου
καὶ ταύτην προστασίαν
ἡμῖν ἀνέδειξας.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Ἠράσθης τοῦ Χριστοῦ
τῆς ταπεινώσεως,
δι' ἧσπερ τὸ γένος τὸ τῶν ἀνθρώπων
τῆς ἀρχαίας καταπτώσεως
ἀνυψώθη, πάτερ παμμακάριστε.

8 τὸν Mh 21 ἀγαλόμενος Mh 22-28 θεοτ. MR V, 210 pro hoc θεοτ. aliud praebet Mh:
Σὲ οἱ πιστοὶ
καύχημα πάντες κεκτήμεθα MR III, 431
28 ἡμῶν MR
heirm. γ' EE 39, n. 53, Cosmae 29 ἠράσθη Mh 33 ὦ πάτερ Mh

10-14 II Cor. 4,6 29-33 Cfr. Filip. 2,8-11

Νομίμως τὰ Χριστοῦ
πολιτευσάμενος,
πολίτης οὐράνιος ἀνεδείχθης,
σὺν ἀγγέλοις αὐλιζόμενος
καὶ θείας δόξης ἐμφορούμενος.

Καρδίαν καθαρὰν
καὶ νοῦν κτησάμενος,
τὸν πάντων δεσπότην κατηξιώθης
καθορᾶν ὡς ἐφικτὸν τοῖς βροτοῖς,
τὸν ἐπέκεινα πάσης καταλήψεως.

θεοτ. Τὰ νέφη τῆς ψυχῆς μου
διασκέδασον,
ἡλίου τῆς δόξης κούφη νεφέλη,
καὶ τὸν νοῦν μου φωταγώγησον
ἀμαυρώσει κακίας σκοτιζόμενον.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας

Ἀπεξεδύσω, ὅσιε,
f. 10 τὸν παλαιὸν χιτῶνα τῶν παθῶν ‖ σου
καὶ περιεβάλου
θείαν εὐπρέπειαν.

Ταῖς ἐντολαῖς σου, κύριε,
στοιχειωθεὶς ὁ σὸς πιστὸς θεράπων,
ἀρετῶν κατέλαβεν
τὴν ἀκρότητα.

---

34 νομίμοις τοῦ Χριστοῦ Mh   νομίμοις Cm   38 καὶ τῆς θείας αἴγλης Mh
43 πᾶσαν Mh   44-48 pro hoc θεοτ. aliud offert Mh:
Θεόνυμφε σεμνή,
θεὸν ὃν ἔτεκες δυσώπει MR III, 508
heirm. δ' om. EE, sed in MR I, 96   49 ἀπεδύσω Mh   54 στιχιωθῆς Mh   πιστῶς Cm   56 τὴν ἀκρόπολιν Mh

Ἐπιποθήσας, ὅσιε,
σὺ τὸν Χριστὸν τῷ πόθῳ καταλλήλως,
Νικηφόρε πάτερ,
τούτου ἐπέτυχες.

θεοτ. * Ἡ τὸ πῦρ τῆς θεότητος
ἐν τῇ γαστρί, παρθένε, δεξαμένη,
τοῦ πυρός με ῥῦσαι
καὶ τῆς κολάσεως.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγός*

Χαίρων ἀπόλαυε
τῆς ἀπορρήτου νῦν τρυφῆς,
ὅσιε, ὡς τῆς πηγῆς
μέχρι καταντήσας
τῶν ἀπαυγασμάτων,
παρ' ἧς τοῖς ἀνθρώποις
τὰ κρείττονα βρύουσιν.

Θεῖα θεάματα
καταστραπτόμενος φωτί,
ὅσιε, ταῖς προσευχαῖς
ταῖς ἀδιαλείπτοις
μιμούμενος ὤφθης
τὰ τῶν ἀσωμάτων,
παμμάκαρ θεόσοφε.

Ῥήσεσιν, πάτερ σοφέ,
ταῖς τοῦ δεσπότου πειθαρχῶν,
ἔθρεψας τὰς ἐνδεεῖς
ψυχὰς τῶν πεινώντων,

---

58 τῷ] τὸν Mh   59 πάτερ] μάρτυς Mh   τούτῳ Mh   61-64 θεοτ.
PID κθ'   pro hoc θεοτ. aliud legimus in Mh:
Λελυτρωμένοι, πάναγνε,
τῶν ζοφερῶν τοῦ ᾅδου MR I, 466
62 τῇ] σῇ PID
heirm. ε' EE 38, n. 51, Cosmae   72 θεάμα Mh

προθύμῳ καρδίᾳ
παρέχων ἀφθόνως
δικαίων ἐκ πόνων σου.

θεοτ. Ἡ τὸν σωτῆρα Χριστὸν
ὁμοιωθέντα τοῖς βροτοῖς
τέξασα ὑπερβολῇ
πλούτου εὐσπλαγχνίας,
αὐτὸν ὡς ἀγαθόν,
ἄχραντε, δυσώπει
τοῦ σῶσαι τοὺς δούλους σου.

ᾠδὴ ϛʹ. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ὡραιώθησαν, πάτερ, οἱ πόνοι σου
ὥσπερ ὁλοκάρπωμα θεῖον εὐπρόσδεκτον
τῷ ποθουμένῳ, ὅσιε,
ὑπὸ σοῦ ἀενάως Χριστῷ τῷ Θεῷ.

Νεκρωθεὶς πρὸ θανάτου τοῖς πάθεσιν,
πάτερ, δι' ἀσκήσεως τῆς καρτερίας σου
τὴν σὴν ψυχὴν ἐλάμπρυνας,
f. 10v || ἀρετῶν ἁρμονίων μιμούμενος.

Ἡ θεόλεκτος, μάκαρ, ὁμήγυρις,
ἣν τοῖς σοῖς προσήγαγες πόνοις τῷ κτίστῃ σου,
χαρμονικῶς ἀγάλλεται,
πρὸς Χριστόν σε μεσίτην πλουτήσασα.

---

85 δικαίων ἀφθόνως δικαίων ἐκ πόνων σου Mh 86-92 pro hoc θεοτ. illud nuntiatur in Mh:

Σοὶ τῇ τεκούσῃ Χριστὸν
τὸν τοῦ παντὸς δημιουργὸν MR III,16

heirm. ϛʹ EE 34, n. 46, Joannis 94 ὁλοκαύτωμα θεῖον Mh 98 τῇ καρτερίᾳ σου Mh 100 ἁρμονίᾳ κοσμούμενος Mh 101 θεόλεκτος] θεόληπτος Mh 104 Χριστοῦ Mh σε om. Mh

θεοτ. * Τῆς ἀμέτρου πωρώσεως ῥῦσαί με
τὸν κεκρατημένον πολλοῖς πλημμελήμασιν,
θεογεννῆτορ δέσποινα,
καὶ γεέννης πυρὸς ὑποκείμενον.

ᾠδὴ ζʹ. *Εἰκόνος χρυσῆς*

Ῥυθμίσας τὸν νοῦν
τοῦ Χριστοῦ ταῖς ἐντολαῖς ὡς ἡ ὑπόσχεσις,
νῦν κατηξίωσαι τὰ οὐράνια
περιπολεύειν σκηνώματα,
μέλπων νοερῶς σὺν ἀγγέλοις,
ὧν τὸν βίον ἐκέκτησο·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ἀγάπης, σοφέ,
καὶ ἐλπίδος ἀληθῶς πλησθεὶς καὶ πίστεως
σοῦ τῷ δεσπότῃ εὐηρέστησας,
ὦ Νικηφόρε μακάριε·
θεῖος δὲ φανεὶς ὑμνολόγος,
ἀνακράζεις γηθόμενος·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Σοφίας Θεοῦ
τῆς φανείσης ἐπὶ γῆς διὰ σαρκώσεως
ἐπὶ τὸ σῶσαι τὸ πλανώμενον
τῆς ἀνθρωπότητος πρόβατον

105-108 θεοτ. invenies in PID μεʹ; ETh, 175 aliud θεοτ. praebet Mh, quod incipit:

Ἀπειράνδρως, παρθένε, ἐκύησας
καὶ διαιωνίζεις παρθένος ἐμφαίνουσα MR I, 481

106 πλημμελήμασιν] ἁμαρτήμασι PID 107 θεοκυῆτορ PID ETh 108 καὶ πυρός με δαιμόνων ἐξάρπασον PID καὶ χειρός με δαιμόνων ἐξάρπασον ETh heirm. ζʹ EE 39, n. 53, Cosmae 114 ὃν Cm 117-124 trop. om. Cm

---

125-130 Cfr. Zach. 9,16; I Petr. 2,25

σκεῦος ἐκλογῆς ἀνεδείχθης,
ἢ καὶ κράζεις τερπόμενος·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ω´— — — ´—
— — ´— — — — ´— — — — ´— —
— — — ´— — — ´— — —
— — — ´— — — ´— — —
´— — — — ´— — — ´— —
— — ´— — — ´— — —
— — — ´— — — — ´—
— — — ´— — — ´—

θεοτ. * Παρθένε σεμνή,
ἀπειρόγαμε ἁγνὴ εὐλογημένη,
καταπιπτόντων ἐπανόρθωσις,
ἁμαρτανόντων ἡ λύτρωσις,
σῶσόν με τὸν ἄσωτον, σῶσον
τῷ υἱῷ σου κραυγάζοντα·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Νῦν τὰς τῶν πόνων ἀμοιβὰς
ὁ δεσπότης σοι Χριστός, πάτερ, δωρῆται,
δεξιᾷ ζωηφόρῳ
κατακοσμῶν σε, σοφέ,

130 κράζεις] κραυγάζεις Mh τερπόμενος] γηθόμενος Mh 133-140 trop. acr. causa desideratur, quod autem om. cdd. 141-148 θεοτ. MR IV, 127; usitato more θεοτ. mutat Mh illo quod incipit:
Ἀδύτου φωτὸς
καὶ λαμπάδος θεϊκῆς καὶ ἀπαυγάσματος MR II, 302
141 Παρθένε] Μαρία MR 142 ἀπειρόγαμε] ἀειπάρθενε MR heirm. η΄ EE 35, n. 47, Joannis 149 Νῦν] Σὺν Mh

149-152 Matth. 25,34

ὑμνοῦντα αὐτὸν ὡς φιλάνθρωπον
καὶ ὑπερυψοῦντα
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἰλὺν καθάρας τῶν παθῶν,
ἀπαθείας στολισμὸν περιεβάλου
τῶν παθῶν τῇ δυνάμει
τοῦ προσπαγέντος σταυρῷ
σωτῆρος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

f. 11 || Καρποφορήσας τῷ Χριστῷ
πρὸ θανάτου σεαυτόν, ὦ Νικηφόρε,
τελευτήσας δὲ πάλιν,
τοὺς φοιτητάς σου καὶ νῦν
προσάγοις πληθύνων τὸ χάρισμα,
τοὺς ὑπερυψοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

Ἠγαπημένος γεγονώς,
τῆς ἀγάπης ἡ πηγὴ πάτερ θεόφρον,
νῦν μὴ παύσῃ πρεσβεύων
ὑπὲρ τῆς ποίμνης τῆς σῆς
ῥυσθῆναι πάσης περιστάσεως
τοὺς ὑπερυψοῦντας
Χριστὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Ζῶσα ὑπάρχουσα πηγὴ
ὡς τὸ ὕδωρ τῆς ζωῆς ἀποτεκοῦσα,

155 v. om. Mh 156 ὕλην Mh παθῶν] πιστῶν Mh παθῶν τῇ δυνάμει Cm 162 v. om. Cm Mh 164 σεαυτῷ Mh 169 εἰς πάντας] Χριστὸν εἰς Mh 170-176 trop. om. Mh 177-183 θεοτ. MR IV, 127; Mh, vero, alio substituit quod incipit:
Ἀθανασίας διαυγῆ
ἐπιστάμεθα πηγήν σε, θεοτόκε, MR II, 303

177-181 Cfr. Ps. 35,10; Jer. 17,13

τὴν ψυχήν μου τακεῖσαν
τῆς ἁμαρτίας φλογμῷ,
παρθένε θεοτόκε, πότισον,
ἵνα σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Φῶς τὸ ἀπρόσιτον πᾶσιν
ἐκ πατρὸς ὁ ἐκλάμψας
ἀχρόνως ὡς υἱὸς μονογενὴς
σὺν τῷ ἰδίῳ γεννήτορι
ὡς ὑπέσχετο, μάκαρ,
ἐλθὼν ἐν σοὶ ἐσκήνωσε σαφῶς·
αὐτὸν γὰρ ἐπαξίως
ἐν ὕμνοις μεγαλύνομεν.

Οἱ φοιτηταί σου, παμμάκαρ,
τὴν ἁγίαν σου θήκην
τῷ πόθῳ περιέπουσι τῷ σῷ
καὶ τὴν εἰκόνα τυπώσαντες
σχετικῶς προσκυνοῦσιν
καὶ πίστει περιπτύσσονται τὴν σήν·
τὸν Χριστὸν γὰρ ἐν ὕμνοις
ἀπαύστως ἐμεγάλυνας.

Ῥώμην ἀνίκητον, πάτερ,
οὐρανόθεν καὶ σθένος
τὸ θεῖον ἐνδυσάμενος σαφῶς,
τὰς τῶν δαιμόνων ἐπάτησας
προσβολὰς καὶ μεθόδους,
παθῶν δὲ κατηδάφισας ὁρμὰς
καὶ Χριστὸν ἐπαξίως
ἐν ὕμνοις ἐμεγάλυνας.

---

heirm. θ' EE 34-35, n. 46, Joannis
186 ὡς om. Mh 190 αὐτὸν γὰρ] αὐτουργὸν Mh 191 σὲ μεγαλύνομεν Mh 192-199 trop. om. Cm 201 σθένος] στέφος Mh 207 ἐμεγάλυνες Mh

---

184-185 I Tim. 6,16

Ἐποπτεύοις, Νικηφόρε,
τὴν σὴν ποίμνην ἐξ ὕψους
τὴν μνήμην ἐκτελοῦσάν σου πιστῶς,
τῇ παρρησίᾳ νῦν χρώμενος
ὡς τὸ πρὶν προστασίᾳ
πρὸς τὸν δεσπότην, ὅσιε, Χριστόν,
ὃν πιστοὶ ἐπαξίως
ἐν ὕμνοις μεγαλύνομεν.

θεοτ. Ἡ ἀπειράνδρως τὸν Λόγον
ὑπὲρ λόγον τεκοῦσα,
παρθένε ἀπειρόγαμε σεμνή,
τῶν πειρασμῶν ἐξελοῦ ἡμᾶς
f. 11v || καὶ παντοίων κινδύνων
καὶ βλάβης ψυχοφθόρου καὶ παθῶν
καὶ διαιωνιζούσης
φλογὸς καὶ κατακρίσεως.

208-215 trop. om. Mh 216-223 θεοτ. om. Mh, qui in suo loco hoc aliud praebet:

Ὡς τὸν Θεοῦ Θεὸν Λόγον
ὑπὲρ φύσιν καὶ λόγον
ἀσπόρως συλλαβοῦσα ἐν γαστρί,
πάντων κτισμάτων δεσπόζεις, ἁγνή,
τοῦ υἱοῦ σου τὴν δόξαν
ὡς χρέος σοι προσνέμοντες ἀεί,
ὃν ἱκέτευε σῶσαι
τοὺς πίστει ἀνυμνοῦντάς σε.

7 *MAII* *CANON* VII

IN SANCTUM ACACIUM

Synaxarium, 661*: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀκακίου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, Καππαδόκης τὸ γένος, ἀριθμοῦ τῶν Μαρτησίων. Προσαχθεὶς δὲ Φίρμῳ τῷ ἄρχοντι, ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ· πλεῖστα δὲ παρ' αὐτοῦ βασανισθεὶς πέμπεται Βιβιανῷ ἑτέρῳ ἄρχοντι, ὃς αὐτὸν ἤγαγεν μεθ' ἑτέρων δεσμωτῶν ἐν Βυζαντίῳ, δειναῖς δὲ μάστιξι καὶ στρέβλαις συγκόψας αὐτὸν ἐν τῇ φυλακῇ κατέθετο, ἔνθα ἐπιστάντες ἄγγελοι κατέστησαν αὐτὸν ὑγιῆ. Μετὰ τοῦτο πέμπεται Φαλκιλλιανῷ ἑτέρῳ ἄρχοντι· οὗ προστάξαντος ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Ἑπτασκάλῳ.

Crypt. Δ.α. IX	= Cl,	ff. 28-31
Mess. gr. 121	= Mh,	ff. 155-157
Paris. gr. 13	= Q,	ff. 316-316ᵛ
Paris. Suppl. gr. 564	= Sd,	ff. 38-44
Vat. gr. 787	= Vw,	ff. 12-13ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν μέγαν Ἀκάκιον τὸν ἀληθέα μάρτυρα μέλπω.
⟨Θεοφάνους⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τῷ κάλλει τῆς ἀκακίας, ἔνδοξε,
κατακοσμούμενος,
τῇ τῶν καλῶν αἰτίᾳ καὶ πηγῇ

(*) Synax. cfr. Vw, f. 13

tit. Μηνὶ τῷ αὐτῷ (μαίῳ) ζ'· ἡ ἀνάμνησις τοῦ ἐν οὐρανῷ φανέντος τιμίου σταυροῦ ἐν τῇ ἁγίᾳ πόλει περὶ ὥραν γ' τῆς ἡμέρας καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Ἀκακίου Q   Εἰς τὸν ὄρθρον κανὼν ... Cl   Ἡ ἀκολουθία τοῦ ἁγίου Ἀκακίου ψαλλόμενος ἐν τοῖς ἀποδείπνοις Q   acr. om. Mh   nomen auctoris Θεοφάνους om. Cl Mh Sd Vw

heirm. α' EE 94, n. 133, Joannis

παρρησίᾳ παρέστηκας,
ἣν νῦν ἡμῖν εὐήλατον
ταῖς σαῖς πρεσβείαις παρασκεύασον.

Ὁ μάρτυς τῆς ἀληθείας σήμερον
ἡμᾶς Ἀκάκιος
ἐν ὑψηλῷ κηρύγματι βοῶν,
συγκαλεῖ πρὸς ἑστίασιν·
μετ' εὐφροσύνης δράμωμεν
καὶ θυμηδίας, φιλομάρτυρες.

Ναμάτων μεταλαβὼν ἀφέσεως
διὰ βαπτίσματος,
υἱοθετήθης χάριτι Χριστῷ
f. 28ᵛ καὶ δευτέρου βαπτίσ||ματος
μαρτυρικοῦ δι' αἵματος
κατηξιώθης, παμμακάριστε.

Μὴ φέρων τὴν ἄθεῖαν, ἔνδοξε,
κορυφουμένην ὁρᾶν,
τὴν τοῦ Χριστοῦ θεότητα τρανῶς
πρὸ βημάτων ἐκήρυξας
δικαστικῶν, Ἀκάκιε,
τῆς ἀκακίας ὁ ἐπώνυμος.

θεοτ. Ἐν σοί, κεχαριτωμένη πάναγνε,
ἐθεωρήθησαν
αἱ τοῦ Θεοῦ πορεῖαι προφανῶς,

5 ἦν Sd   11 μετ' εὐφροσύνης] μετὰ σπουδῆς οὖν Mh Q Sd Vw   13 μεταλαβὼν] ἀπολαβὼν Mh   ἀφέσεως] τοῦ πνεύματος Vw Mh   15 χάριτι Χριστῷ] τῇ χάρῃ Θεῷ Mh   Χριστῷ] Χριστοῦ Q Sd Vw   19-24 trop. om. Mh   24 ὁ] ὡς Q Sd Vw   25 σοὶ τῇ κεχαριτωμένῃ Q Vw

19-24 AA.SS. Maii II (1680) 763 § 8-9 (= PG 115,225): Ὁ δικαστὴς εἶπεν, πῶς μόνον ἔφης ἀληθινὸν Θεόν, ὁπότε λέγεις τὸν Χριστὸν υἱὸν εἶναι Θεοῦ, ἀνάγκη δὲ πᾶσα, εἰ υἱός, καὶ ἴσος εἴη τῷ πατρί δύο αὐτοὺς εἶναι λοιπόν, καὶ οὐχὶ ἕνα Θεόν. Δύο οὖν καὶ αὐτοὶ λέγοντες Θεούς, πῶς νῦν ἕνα ἐκφωνεῖς; Ἀκάκιος εἶπεν· πιστεύω τῷ Ἰησοῦ τῷ σταυρωθέντι ἐπὶ Ποντίου Πιλάτου... Ἐγὼ δὲ σοὶ λέγω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀχώριστον εἶναι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ εἶναι μὲν τρία πρόσωπα ἐν τρισὶ προσηγορίαις, μίαν δὲ δύναμιν καὶ θεότητα τούτων τῶν ὀνομάτων ὑπάρχειν.

τοῦ παρθένον φυλάξαντος
καὶ μετὰ τόκον ἄφθορον
σὲ τὴν τεκοῦσαν διὰ σώματος.

ᾠδὴ γ'. *Οὐκ ἐν σοφίᾳ*

Γνώσει τῇ θείᾳ
καὶ σοφίᾳ καὶ λόγῳ κοσμούμενος,
τῶν σοφῶν τὰς συμπλοκὰς
τὰς ἀνοήτους διέλυσας·
διό σου τὴν ἔνδοξον
μνήμην γεραίρομεν.

Ἀνδρικωτάτῳ
καὶ στερρῷ διαπρέπων φρονήματι,
συστροφὰς τῶν ἀσεβῶν
καὶ παρατάξεις ἐνίκησας
καὶ πλάνης κατέστρεψας
τὰ ὀχυρώματα.

Νενευρωμένος
δυναστείᾳ Θεοῦ παντοκράτορος,
τὸ σαθρὸν καὶ ἀσθενὲς
τῆς ἀθείας διέλυσας·
διὸ νικηφόρον σε,
μάκαρ, κηρύττομεν.

Ἀμβλυωπίαν
τῆς ἀπάτης καὶ λύμην διέφυγες,
εὐσεβείας φωτισμῷ

29 καὶ μετὰ τόκον] μετὰ τὸν τόκον Vw Q 30 διὰ σώματος] διασώσαντος Mh Q Sd Vw
heirm. γ' EE 96, n. 136, Joannis 31 Ἑνώσει Mh 39 τῶν om. Cl 43 Νενευρωμένους Mh 46 διέλυσας] διήλεγξας Mh Q Sd Vw 48 μάκαρ] μάρτυς Sd 49-54 trop. om. Mh 51 φωτισμῷ] φτισμῷ Vw

31-34 Cfr. Rom. 11,33

καὶ φωτοβόλοις ἐλλάμψεσιν
τὸν νοῦν ἐλλαμπόμενος,
μάρτυς Ἀκάκιε.

θεοτ. * Κράτος θανάτου
καὶ κατάρας ἀρχαίας ἀπόφασιν,
συλλαβοῦσα τὴν ζωήν,
θεογεννῆτορ, κατήργησας·
διό σου τὴν ἄχραντον
σέβομεν γέννησιν.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τοῖς ὄμβροις τῶν αἱμάτων σου,
μάρτυς Ἀκάκιε,
ἐχθροῦ ἐναπέπνιξας
πᾶσαν παράταξιν,
τυράννους δὲ ἤσχυνας,
ἔφθασας τῶν ἀγγέλων
τὰς ἀΰλους χορείας,
εἴληφας ἀφθαρσίας
τὸ ἀμάραντον στέφος·
διὸ ταῖς σαῖς ἱκεσίαις
σῶζε κινδύνων ἡμᾶς.

f. 29 || ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*

Ἀκαθαίρετος ὡς πύργος
διὰ πίστεως ἔμεινας,
οὐ βασάνων ὄμβροις,
οὐ τῶν αἰκισμῶν ἐπικλύσεσιν,

52 ἐλλάψεσι Cl 55-60 θεοτ. PaR, 339
κάθ. om. Mh heirm. καθ. HR, 63 3 ἐναπέπνιξας] κατεπόντισας Q Vw κατεπάτησας Sd 10 διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς Q Sd Vw
heirm. δ' EE 95, n. 135, Joannis 63 ὄμβρους Cl 64 τῶν] ταῖς Mh Q Sd Vw

οὐ τῶν μαστίγων ἀνέμοις
τινασσόμενος,
ἀλλ' ἐκραύγαζες·
« δόξα, Χριστέ, τῇ δυνάμει σου ».

Κυβερνώμενος ἱστίῳ
καὶ ταῖς αὔραις τοῦ πνεύματος
τοῦ ἁγίου, μάκαρ,
ὅρμῳ γαληνῷ ἀναπέπαυσαι,
τὰς ἐμβολὰς τῶν κυμάτων
καὶ τὰ πνεύματα
μὴ πτοούμενος,
μάρτυς Χριστοῦ πανσεβάσμιε.

Ἱλεούμενος τὸ κράτος
τοῦ Θεοῦ τὸ ἀνίκητον,
ὑπερέσχες πᾶσαν
τῶν ὑπεναντίων τὴν δύναμιν
καὶ τὴν αὐτῶν πανοπλίαν
ἐπρονόμευσας,
ἀγαλλόμενος
ὡς νικητής, ἀξιάγαστε.

Ὁδηγούμενος ἐκ θείας
προφανῶς ἐπιπνεύσεως,
τὸ τοῦ δρόμου τέλος
πόλιν βασιλίδα πεποίησαι,
ἧς πολιοῦχος ἐγένου,
παμμακάριστε,
πᾶσαν ἔφοδον
βαρβαρικὴν ἀπωθούμενος.

68 δόξα τῇ δυνάμει σου, κύριε Q 69 ἱστίοις Mh Q Sd Vw 78 ἀνίκητον] ἀνείκαστον Vw ἀήττητον Mh 79 πάσης Q Vw 80 τὴν δύναμιν] δυνάμεων Q Vw 81 πανοπλίαν] πολιτείαν Q Vw 85-92 trop. om. Mh 86 ἐπινεύσεως Q Sd Vw 88 πόλιν] πάλιν Vw

85-92 AA.SS. 764 § 13 (= PG 115,229): Ἐγένετο δὲ τὸν Βιβιανὸν γράμματα δέξασθαι παρὰ τοῦ Φλακκίνου, τοῦ παραλαβεῖν αὐτὸν εἰς τὸ Βυζάντιον· ἐκέλευσε δὲ καὶ τοὺς δεσμώτας ἀκολουθῆσαι. Ὁ οὖν μακάριος μάρτυς Ἀκάκιος καὶ τῷ ὄγκῳ τῶν τραυμάτων τρυχόμενος καὶ τῷ πόνῳ τοῦ σώματος ἔτι δὲ καὶ τῷ πλήθει τῶν σιδήρων βαρυνόμενος...

θεοτ. Νεκρωθέντα με, παρθένε,
καὶ ἀφύκτοις κρατούμενον
ἁμαρτίας βρόχοις,
μόνη θεομῆτορ, ἀνάστησον,
ἡ τὴν ζωὴν συλλαβοῦσα
τὴν αἰώνιον,
ἀπολύτρωσιν
πᾶσι πιστοῖς τὴν παρέχουσαν.

ᾠδὴ ε'. *Ἀσεβεῖς οὐκ ὄψονται*

Τὸν σταυρὸν ἐβάστασας
ἐπ' ὤμων ἀκλινῶς,
τῷ Χριστῷ κατακολουθῶν
πρὸς ζωὴν ἀκήρατον
καθοδηγοῦντί σε
καὶ πρὸς φῶς ἀπρόσιτον
ἀναφέροντι, πανόλβιε.

Οἱ πικροὶ τοῦ σώματος,
παμμάκαρ, αἰκισμοὶ
καὶ μελῶν αἱ ἀποκοπαὶ
τὴν τρυφὴν τὴν ἄϋλον
σοὶ προεξένησαν
καὶ μαρτύρων στέφανον
καὶ ἀγγέλων ἀγαλλίαμα.

f. 29v ‖ Νεανίας ἄκακος
καὶ σώφρων καὶ πραῢς
καὶ στερρὸς κατὰ τῶν παθῶν
τῆς σαρκὸς καὶ δαίμοσιν
δυσκαταγώνιστος
καὶ πιστοῖς εὐπρόσιτος
ἀνεδείχθης, παναοίδιμε.

97 ἡ] καὶ Vw 100 πᾶσι om. Mh
heirm. ε' EE 97, n. 138, Joannis 109 αἰκισμοῖς Mh 111 ἄϋλον] ἄληκτον Mh Q Sd Vw 115-121 trop. om. Mh

101-107 Cfr. Gal. 6,11-14; Hebr. 12,1-2

θεοτ. * Ἀληθῆ Θεὸν ἡμῶν
τεκοῦσα σαρκικῶς
τοῦ πατρὸς τὸν μονογενῆ,
θεοτόκον, πάναγνε,
σὲ ὀνομάζομεν,
τὴν φωνὴν κατάλληλον
προσαρμόζοντες τῷ τόκῳ σου.

ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Λιμῷ σε
οἱ δωρεᾶς τῆς θείας λιμώττοντες
καταδικάζουσιν, μάρτυς,
τὸν ἀεὶ τρυφῶντα τῶν οὐρανίων
χαρισμάτων
καὶ τρυφὴν ἀδαπάνητον ἔχοντα.

Ἤισχυνας
τῶν τυράννων τὸ ἄθεον φρύαγμα
καὶ τὸν ἀρχέκακον ὄφιν
τῷ πελάγει πνίξας τῶν σῶν αἱμάτων,
νικηφόρος
πρὸς οὐρανὸν ἀνέπτης, Ἀκάκιε.

Θανάτῳ
τοῦ δεσπότου, παμμάκαρ, τὸν θάνατον
ἐκμιμησάμενος, μάρτυς,

122-128 θεοτ. PaR, 341 122 ἡμῖν Q PaR 123 τεκοῦσαν PaR 124 τοῦ om. PaR 125 πάναγνον PaR
heirm. ϛ' EE 94, n. 133, Joannis 130 οἱ δωρεῶν τῶν θείων Mh Q Vw 131 μάρτυς] μάκαρ Q Vw 134 τροφὴν Sd 135 ἴσχυνας Mh Vw 136 φρύαγμα] φρόνημα Q Vw 140 Ἀκάκιε] μακάριε Q Vw 142 δεσπότου, παμμάκαρ] θανάτῳ μάκαρ Mh

---

129-131 AA.SS. 765 § 16 (= PG 115, 233): Ἤλπιζε γὰρ αὐτὸν ἐκ τῶν τραυμάτων τοῦ σώματος καὶ ἐκ τῆς θλίψεως τῶν δεσμῶν καὶ ἐκ τῆς ἐνδείας τῶν σιτίων καὶ ἐκ τοῦ κόπου τῆς πολλῆς ὁδοῦ καταπεπονημένον καὶ καταδεδαπανημένον σφόδρα ἰδεῖν τῷ σώματι.

δι' αἰῶνος τούτῳ συμβασιλεύεις,
θεωρίας
τῆς αὐτοῦ καὶ χαρᾶς ἐμφορούμενος.

θεοτ. Ἔλυσας
τοῦ θανάτου, ἁγνή, τὸ κατάκριμα
καὶ τὴν τοῦ νόμου κατάραν,
τὸν Χριστὸν τεκοῦσα τὸν καθαιρέτην
τοῦ θανάτου
καὶ εὐλογίαν πᾶσι πηγάσαντα.

f. 30 ‖ ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

Ἀποτμηθεὶς τὴν κεφαλὴν
πρὸς τὴν νοουμένην ἀνέπτης
τῆς ἐκκλησίας κεφαλήν,
τῷ τῆς νίκης στεφάνῳ κοσμούμενος
καὶ κραυγάζων, πανόλβιε·
« ὁ Θεὸς ὁ τῶν πατέρων
εὐλογητὸς εἶ ».

Μετὰ μαρτύρων τοῦ Χριστοῦ
ὡς παναληθέστατος μάρτυς
συνηριθμήθης καρτερῶς,
τοὺς ἀθέους τυράννους τρεψάμενος
καὶ κραυγάζων, μακάριε·
« ὁ Θεὸς ὁ τῶν πατέρων
εὐλογητὸς εἶ ».

Ἀναπτερούμενος τὸν νοῦν
πρὸς τὴν μακαρίαν ἐλπίδα
τὴν τηρουμένην τοῖς πιστοῖς,
τῶν μαρτύρων ὑπῆλθες τὸ στάδιον,
ἀναμέλπων τῷ πνεύματι·
« ὁ Θεὸς ὁ τῶν πατέρων
εὐλογητὸς εἶ ».

---

146 καὶ χαρᾶς τῆς αὐτοῦ Q Vw 152 πάσῃ Mh πηγάζοντα Q Vw
heirm. ζ' EE 101, n. 142, Cosmae 158 ὁ τῶν πατέρων om. Vw 164 μακάριε] Ἀκάκιε Mh Q Sd Vw 170 μαρτύρων] ἀγώνων Mh Q Vw ἐπῆλθες Sd

f. 30v θεοτ. ‖ Ῥήσεις, παρθένε, προφητῶν
καὶ οἱ ἀρχαιότατοι τύποι
σοῦ προτυποῦσιν ἐμφανῶς,
θεομῆτορ, τὴν ἄχραντον γέννησιν,
ἣν ὑμνοῦντες, κραυγάζομεν·
« ὁ Θεὸς ὁ τῶν πατέρων
εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Τὴν ἄνω μητρόπολιν, σοφέ,
τὴν βασιλεύουσαν
τῷ ὄντι ᾤκησας,
ἣν ᾠκοδόμησε κύριος
καὶ ἁγίοις προητοίμασεν,
τοῖς πεποιθόσιν ἐπ' αὐτὸν
καὶ πίστει ψάλλουσιν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ὑπέφερες τὴν ὀδυνηρὰν
βασάνων αἴσθησιν,
λιμόν τε τήκοντα,
διενθυμούμενος ἄριστα
τὴν ἀΐδιον ἀπόλαυσιν
καὶ τὴν τρυφὴν καὶ τὴν χαρὰν
τὴν διαμένουσαν
τοῖς βοῶσιν·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ῥαδίως καὶ λίαν εὐχερῶς
κατεπολέμησας
τοὺς ἀντιπάλους τοὺς σούς,
ἀκαταμάχητον σύμμαχον,

179-180 vv. om. Mh
heirm. η' EE 94, n. 133, Joannis 186 πεποιθεῖσιν Mh 187 ψάλλουσιν] κραυγάζουσιν Vw κράζουσιν Mh Q Sd 188-189 vv. om. Mh 193 ἄριστε Q Sd Vw 201 ἀντιπάλους] πολεμίους Q Vw

συνεργόν τε καὶ συλλήπτορα
καὶ συναθλοῦντα τὸν Χριστὸν
ἔχων, πανόλβιε,
ᾧ βοῶμεν·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ἀκάκιος, μάκαρ, προκληθείς,
τὸν βίον ἄκακον
ἔσχες καὶ ἄμεμπτον,
καλλωπιζόμενος αἵματι
τῆς ἀθλήσεως, πανεύφημε,
καὶ ἀρεταῖς μαρτυρικαῖς
ἀγλαϊζόμενος
καὶ κραυγάζων·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. Μυστήριον ξένον ἀληθῶς
ὑπὸ τὸν ἥλιον,
μόνη, ὑπέδειξας·
Θεὸν γὰρ τέτοκας, ἄχραντε,
τὸν ἀόρατον καὶ ἄναρχον
καὶ τὸν ἀχώρητον παντὶ
καὶ ἀκατάληπτον,
ᾧ βοῶμεν·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Ἔχων, μάκαρ, τῆς ἀθλητικῆς
ἐνστάσεως διαλάμπον
τὸ ἐκνίκημα,
θρόνῳ παρέστης τοῦ δεσπότου,
ἀγγέλων συγχορεύων στρατεύμασιν
καὶ πᾶσι τὴν σωτηρίαν αἰτούμενος
τοῖς τὴν σὴν μνήμην μακαρίζουσιν.

208-216 trop. om. Mh Q Vw 221 ἄναρχον] ἄχραντον Vw
heirm. θ' EE 98, n. 139, Joannis et Stephani 232 τοὺς τὴν σὴν μνήμην μακαρίζοντας Vw

f. 31 || Λαμπρά σου κατὰ τοῦ δυσμενοῦς,
πανόλβιε, τὰ τῆς νίκης
ἀριστεύματα,
σοὶ δὲ τὸ γέρας πολὺ μεῖζον
ὁ σὸς ἀγωνοθέτης παρέχεται
καὶ θείας φωτοχυσίας ἐμπίμπλησιν·
ὅθεν σε πάντες μακαρίζομεν.

Πλησίον ἐγένου τοῦ Θεοῦ,
πανάριστε, καὶ γὰρ πάθος
παραπλήσιον
ἔτλης· διό σε θεωρίας
τρανῶς καὶ θεοπτίας ἠξίωσεν
ὧν ἐπὶ γῆς τὰς ἐμφάσεις ἐκέκτησο,
πόρρωθεν πάντας ἀσπαζόμενος.

θεοτ. Ὡραῖός σου κάλλει ὁ καρπός,
πανάμωμε, παρὰ πάντας
πεφανέρωται,
αἴγλη τὴν κτίσιν ὡραΐζων
τῆς σῆς καλλοποιοῦ ὡραιότητος·
ὃν ἐκτενῶς δυσωποῦσα, διάσωσον
τοὺς σὲ ἀπαύστως μεγαλύνοντας.

236 σοὶ δὲ] καὶ σοὶ Q Vw πολλῷ Sd 237 παρέσχετο Sd Vw 239 μακαρίζομεν] μεγαλύνομεν Mh 240 τοῦ] νῦν Mh Θεοῦ] Χριστοῦ Mh Q Sd 241 πόθος Sd 242 παραπλήσιος Sd 243 θεωρίαις Mh 244 θεοπτίας] βασιλείας Vw 246 πάντας] ταύτας Mh Vw ἀσπασάμενος Mh Q Sd Vw 247 τὸ κάλλι (sic) Mh καρπὸς] υἱὸς Q Vw 251 τῆς σῆς] τῇ τῆς Mh Q Sd Vw 253 μεγαλύνομεν Mh

IN SANCTUM JOANNEM THEOLOGUM APOSTOLUM

Synaxarium, 663-664: Μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ ἐπιστηθίου ἠγαπημένου παρθένου Ἰωάννου τοῦ θεολόγου, ἤγουν ὁ ῥοδισμὸς καὶ ἡ τρύγησις τοῦ μάννα. Ἐκ τοῦ ἐγκωμίου Σωφρονίου Ἱεροσολύμων εἰς τὸν θεολόγον μανθάνομεν, ὅτι ὁ πατὴρ τοῦ θεολόγου ὁ Ζεβεδαῖος ἦν, ἡ δὲ μήτηρ Σαλώμη, θυγάτηρ Ἰωσὴφ τοῦ μνηστευσαμένου τὴν παναγίαν Θεοτόκον. ..... Ὅτι πάντων φυγόντων, Ἰωάννης ὡς ἀγαπητὸς ἐν τῇ παραδόσει καὶ ἐν τῷ σταυρῷ παρῆν, καὶ εἰς τὸν τάφον πρῶτον τοῦ Πέτρου ἦλθεν, καὶ ὅτι τὴν παναγίαν Θεοτόκον ἔλαβεν εἰς τὰ ἴδια ὁ θεολόγος. Ὅτι οὗτος ἐπὶ τῆς γῆς τρεῖς μητέρας ἔσχηκε· πρώτην τὴν Σαλώμην, ἐξ ἧς καὶ γεγέννηται· δευτέραν, ὅτι βροντῆς υἱὸς ἐχρημάτισε παρὰ τοῦ Κυρίου· τρίτην τὴν παναγίαν Μαρίαν τὴν θεοτόκον, κατὰ τὸ ῥηθὲν αὐτῷ ὑπὸ τοῦ Κυρίου· « Ἰδοὺ ἡ μήτηρ σου. » Ὅτι τὴν ἁγίαν Θεοτόκον Πέτρος καὶ Ἰωάννης ἐβάπτισαν, καὶ μέχρι τῆς κοιμήσεως τῆς παναγίας Θεοτόκου συνῆν αὐτῇ ὁ θεολόγος καὶ μετὰ τὴν κοίμησιν αὐτῆς ἦλθεν εἰς Ἔφεσον καὶ τὸν ναὸν τῆς Ἀρτέμιδος διὰ προσευχῆς κατέβαλεν, καὶ τεσσαράκοντα μυριάδας ψυχῶν ἀνδρῶν τε καὶ γυναικῶν λατρευόντων τῇ Ἀρτέμιδι τῆς πλάνης ἀπήλλαξε καὶ μετήγαγε πρὸς τὸ φῶς τῆς θεογνωσίας. ..... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ αὐτοῦ ἀποστολείῳ, τῷ ὄντι ἐν τῷ Ἑβδόμῳ.

Mess. gr. 139 = Ma, ff. 210v-212v

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Τῷ βοηθήσαντι Θεῷ*
ἐν Αἰγύπτῳ τῷ Μωσεῖ
καὶ δι' αὐτοῦ τὸν Φαραὼ
πανστρατὶ βυθίσαντι
ἐπινίκιον ᾠδὴν
ᾄσωμεν ὅτι δεδόξασται.

f. 211 || Τὸν θεολόγον μαθητὴν
καὶ ἀπόστολον Χριστοῦ

tit. Κανὼν ἕτερος εἰς τὸν ἅγιον Θεολόγον
heirm. α' EE 16, n. 22, Joannis 2 τῷ om. ed. 3 δι' αὐτοῦ τὸν] διὰ τοῦτο ed. 5-6 ᾄσωμεν ᾠδὴν τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται ed. — communem traditionem in EE relatam protulimus ut metro tropariorum magis congruentem

ὡς ἐπιστήθιον αὐτοῦ
καὶ διδάσκαλον ἡμῶν
καταχρέως οἱ πάντες
ὑμνήσωμεν εἰς σωτηρίαν ἡμῶν.

Ἐξ ἁλιέων μαθητὰ
καὶ ἀπόστολε Χριστοῦ
καὶ τῶν ἐθνῶν σαγηνευτά,
Ἰωάννη παρθένε,
τὸν σωτῆρα τῶν ὅλων
ἱκετεύοις τοῦ σωθῆναι ἡμᾶς.

Παρισταμένην τῷ σταυρῷ
τὴν μητέρα ἑαυτοῦ
ὁ ἐξ αὐτῆς ἄνευ σπορᾶς
κατὰ σάρκα γεννηθεὶς
σοὶ παρέθετο μόνῳ,
Ἰωάννη θεολόγε σοφέ.

θεοτ. * Δεδοξασμένα περὶ σοῦ
ἐλαλήθη πανταχοῦ,
ὅτι ἐκύησας σαρκὶ
τὸν τῶν ὅλων ποιητήν,
θεοτόκε Μαρία,
πανύμνητε καὶ ἀπειρόγαμε.

ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ*

Ἀπόστολε τοῦ Χριστοῦ,
πρέσβευε ἀπαύστως
Θεῷ τῷ σωτῆρι
κινδύνων λυτρώσασθαι
καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

---

12 τοῦ] τὸ   13 παρισταμένη   17 σύ   19-24 θεοτ. TR, 538
24 πανύμνητε] ἀνύμφευτε TR
heirm. γ' EE 17, n. 22, Joannis

7-12 Matth. 4,21-22   13-18 Joh. 19,25-27

Τῷ στήθει ἐπιπεσὼν
τοῦ σοῦ διδασκάλου,
ἐκεῖθεν τῷ κόσμῳ
τριάδα ἀπεκάλυψας
ὑμνεῖσθαι ὁμοούσιον.

Τριάδα θεολογῶν
ἐν μιᾷ οὐσίᾳ,
μαθητὰ κυρίου,
τὸν κόσμον ἐφώτισας
ἐκ πλάνης λυτρωσάμενος.

θεοτ. Παρθένε χαῖρε σεμνή,
ἡ ἀνερμηνεύτως
τεκοῦσα τὸν Λόγον,
Χριστὸν τὸν Θεὸν ἡμῶν
τὸν μόνον πολυέλεον.

ᾠδὴ δ'. *Εἰσακήκοα, οἰκτίρμον,*

Καλάμῳ ποτὲ ἰχθύας
ἐπὶ τῆς θαλάσσης ἁλιεύων,
ἠγρεύθης, θεολόγε,
ὑπὸ Χριστοῦ πανσόφως
εἰς τὸ πάντας φωτίσαι
τὴν γνῶσιν τῆς θεότητος.

Τῷ πνευματικῷ καλάμῳ
ἐκ τοῦ διδασκάλου, θεολόγε,
τὴν γνῶσιν ἁλιεύσας,
τῶν ἄνω μυστηρίων
ἐν τριάδι μονάδα
ὑμνεῖσθαι ἐθεολόγησας.

---

heirm. δ' EE 12, n. 16, Andreae

30-34 Joh. 13,23-25

f. 211v || Σὺ εἰς τὸν βυθὸν τὸν ἄνω
ὡς ἠγαπημένος ἐμβατεύσας,
ἐγνώρισας τοῖς κάτω
ἃ ἔγνως, θεολόγε,
καὶ ἐφώτισας κόσμον
ἐκ πλάνης λυτρωσάμενος.

θεοτ. Σὲ τὴν τοῦ Θεοῦ μητέρα
πάντες οἱ προφῆται προεκήρυξαν,
ὁ μὲν ἁγίαν πύλην,
ὁ δὲ φωτὸς νεφέλην,
ἄλλος ἅγιον ὄρος,
ἡμεῖς δὲ θρόνον ἔνδοξον.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντες*

Τοῦ θεολόγου Ἰωάννου
τὴν ἑορτὴν ἐπιτελοῦντες,
ἐκ νυκτὸς ὀρθρίζομεν
καὶ Θεὸν δοξάζομεν,
τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Τὸν ἁλιέα τῶν ἀνθρώπων
καὶ θεολόγον Ἰωάννην
ὡς παρθένον ἅπαντες
οἱ πιστοὶ ὑμνήσωμεν,
τὸν πανεύφημον ἀπόστολον.

Μαθητὰ ἠγαπημένε,
τῶν ἀποστόλων ἡ ἀκρότης,
διὰ παντὸς τὸν κύριον
ἐκτενῶς ἱκέτευε
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. 63-68 idem est ac θεοτ. θ' vv. 156-161; cfr. p. 347
heirm. ε' EE 17, n. 22, Joannis

57-58 Joh. 21,7 74-75 Matth. 4,19

θεοτ. * Τὴν ὁλόφωτον παρθένον
ὁ Θεὸς ἐξελέξατο
καὶ ἐν αὐτῇ ἐσκήνωσεν,
προσλαβόμενος σάρκα
ἐξ αὐτῆς εἰς σωτηρίαν ἡμῶν.

ᾠδὴ ϛ'. *Σὺν τῷ Ἰωνᾷ βοῶμέν σοι, κύριε,*

Σὺ τῷ νοητῷ καλάμῳ τοῦ πνεύματος
θεολογίας δέλτον ἀναψάμενος,
ἐτράνωσας ἐν ἀρχῇ τὸν προάναρχον.

Υἱόν σε βροντῆς Χριστὸς ἐπωνόμασεν,
τῇ ἀστραπῇ τῶν λόγων σου τὰ πέρατα
φωτίσαντα, θεολόγε ἀπόστολε.

θεοτ. Θρόνον σε Θεοῦ, παρθένε, γινώσκομεν,
ὅτι ἐν σοὶ ἀρρήτως ἐπανεπαύσατο
αὐτὸς ὁ Λόγος, σαρκὶ ἑνωθεὶς ἡμῖν.

Κοντάκιον.

Ἦχος πλ.β'.

Ἀπόστολε παρθένε καὶ θεολόγε
....

Ὁ οἶκος. ⟨*Τῷ*⟩ *τυφλωθέντι*

Εἷς ἀληθῶς ὁ τοῦ κόσμου Θεός,
f. 212 τεχνίτης ἄναρχος || σὺν τῷ υἱῷ
καὶ πνεύματι τῷ παναγίῳ,

84-88 θεοτ. BMC, 140-141
heirm. ϛ' EE 16, n. 21, Germani κοντάκ. TRM, ρλη'
heirm. οἴκ. MR III, 165

92-94 Marc. 3,17

ὃς κελεύσει αὐτοῦ τοὺς αἰῶνας κατηύγασεν·
οὕτως γὰρ διηγοῦνται
οἱ οὐρανοὶ τὴν δόξαν,
πῶς αὐτὸς κατεκόσμησεν
ἡλίῳ καὶ πυρὶ
καὶ σελήνῃ λαμπρύνας,
δακτύλοις δὲ αὐτοῦ
τοὺς ἀστέρας ἐμπήξας,
στερεώσας τὸν πόλον ἐπλήρωσεν
καὶ τὰ συστήματα τῶν θαλασσῶν
ῥήματι συναγαγών,
τὴν δὲ γῆν νεουργήσας,
ἐκαλλώπισε τέρψας,
ὁ τὰ πάντα συστησάμενος Λόγος.

ᾠδὴ ζʹ. *Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς*

Ὁ ἐν θαλάσσῃ ποτὲ
τοὺς ἰχθύας ἁλιεύειν,
σαγηνεύων τοὺς ἀνθρώπους ἐδιδάχθης πανσόφως
ὑπὸ Χριστοῦ, ἀπόστολε
θεολόγε, πανσόφως.

Ὁ ἐκ τῆς πλάνης, Χριστέ,
ἐπιστρέψας ἀνθρώπους
καὶ στηρίξας ἐν τῇ πίστει διὰ τοῦ θεολόγου,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων.

heirm. ζʹ ΕΕ 17, n. 22, Joannis, sed cd. quamquam initium eisdem versibus incipit, diversis tamen verbis concludit:
Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς
ἐν πυρὶ τῷ νομοθέτῃ
καὶ τὴν β⟨—⟩ρ⟨—⟩τῶσαν κάμινον
με⟨τα⟩βαλόν⟨τα⟩ εἰς δρόσον Χριστὸν τὸν Θεὸν
ὑμ⟨νεῖτε⟩κ⟨αὶ⟩ὑπ⟨ερυψοῦτε.....................
....

102 πανσόφως] παν

Ὁ κηρύξας ἡμῖν
« ἐν ἀρχῇ ἦν ὁ Λόγος »,
ἀπόστολε, θεολόγε, μαθητὰ καὶ παρθένε,
τῷ σωτῆρι πρέσβευε
ἐκτενῶς τοῦ σωθῆναι ἡμᾶς.

θεοτ. * Ὁ δι' ἀγγέλου τὴν χαρὰν
ἀποστείλας τῇ παρθένῳ,
ἵνα Εὔαν λυπουμένην εἰς χαρὰν μεταβάλῃ,
εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων.

ᾠδὴ ηʹ. *Ὕμνον σοι προσφέρομεν τῶν ἀσωμάτων*

Τὸ στόμα σου, ἀπόστολε, πηγὴ ὑπάρχει
ὀρθοδοξίας· διὸ ὑμνοῦμεν
τὸν σωτῆρα λέγοντες·
« εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον ».

Ἐτέλεσεν τὸ κήρυγμα ὁ θεολόγος
καὶ σαγηνεύσας τὴν οἰκουμένην,
ἀνυμνεῖν ἐδίδαξεν·
« εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον ».

Μετέστης ἀπόστολος καὶ θεολόγος
ἐν παρρησίᾳ Χριστῷ πρεσβεύων,
τῷ σωτῆρι κραυγάζων·
« εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον ».

θεοτ. * Μητέρα καὶ παρθένον σὲ ὁμολογοῦμεν,
σεσαρκωμένον Θεὸν τεκοῦσαν,

113-117 θεοτ. BMC, 143 117 τῶν πατέρων ἡμῶν BMC
heirm. ηʹ ΕΕ 17, n. 22, Joannis 133-137 θεοτ. BMC, 143

108-112 Joh. 1,1-2

ὃν ὑμνοῦντες, λέγομεν·
« εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Σὲ τὴν ὁραθεῖσαν πύλην*

f. 212v ‖ Τὸ τοῦ θεολόγου πάντες
ὡς ἠγαπημένου ἀποστόλου
μνημόσυνον τελοῦντες,
Χριστὸν τὸν ζωοδότην
τοῦ παντὸς καὶ δεσπότην
ἐν ὕμνοις μεγαλύνομεν.

Σὺ ἀναπεσὼν τῷ στήθει
τοῦ σοῦ διδασκάλου, θεολόγε,
ἐτράνωσας ἀνθρώποις
τὴν τοῦ Θεοῦ σοφίαν,
« ἐν ἀρχῇ ἦν ὁ Λόγος »
φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Τῶν ἐκκλησιῶν ὁ στῦλος
καὶ τῶν ἀποστόλων ἡ ἀκρότης,
παρθένε θεολόγε,
ἱκέτευε ἀπαύστως
τὸν τῶν ὅλων δεσπότην
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

θεοτ. Σὲ τὴν τοῦ Θεοῦ μητέρα
πάντες οἱ προφῆται προεκήρυξαν,
ὁ μὲν ἁγίαν πύλην,
ὁ δὲ φωτὸς νεφέλην,
ἄλλος ἅγιον ὄρος,
ἡμεῖς δὲ θρόνον ἔνδοξον.

135 ὃν] καὶ BMC
heirm. θ' EE 17, n. 22, Joannis 156-161 θεοτ. simile odes δ' (vv. 63-68); cfr. p. 347 156 Σὲ] ὁ

144-149 Joh. 13,25 148 Joh. 1,1-2

IN SANCTUM CODRATUM

Synaxarium, 670-672: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Κοδράτου καὶ τῆς συνοδίας αὐτοῦ. Οὗτος ἦν καὶ οἱ σὺν αὐτῷ κατὰ τοὺς χρόνους Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων ἐν τῇ Νικομηδέων πόλει· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ἤχθη πρὸς Περίνιον τὸν ἀνθύπατον· καὶ ἐρωτηθεὶς ὡμολόγησε τὸν Χριστὸν καὶ ἁπλωθεὶς ἐτύφθη βουνεύροις ἐφ' ἱκανόν, ὥστε αἱμάτων πληρῶσαι τὴν γῆν. ⟨Εἶτα⟩ κατεῖχε τοῦτον ἡ φυλακή, γυμνὸν ἐπ' ὀστράκου τεθῆναι ⟨τοῦ ἀνθυπάτου κελεύσαντος καὶ⟩ λίθον ἐπιτεθῆναι τῷ στήθει αὐτοῦ, εἶτα ἀχθῆναι ἐν τῇ Νικαιέων πόλει καὶ τιμωρηθῆναι σφοδρῶς· ἐν ᾗ καὶ πολλοὺς ποιήσας πιστεῦσαι τῷ Χριστῷ, ὧν οἱ μὲν καὶ τὰς κεφαλὰς ἐτμήθησαν, ἕτεροι δὲ τῷ πυρὶ παρεδόθησαν. Ὁ δὲ ἅγιος αἰτήσας εἰσελθεῖν ἐν τῷ ναῷ τῶν εἰδώλων τὰ ἐν αὐτῷ ἅπαντα συνέτριψε ξόανα· ὅθεν κρεμασθεὶς ξέεται καὶ μαστιζόμενος ἀπὸ πόλεως εἰς πόλιν εἰς τὴν Ἀπαμέων πόλιν εἰσέρχεται· καὶ βληθεὶς ἐν σάκκῳ ἐτύφθη σφοδρῶς. Εἶτα ἀχθεὶς εἰς Καισάρειαν, ὡς ἐκεῖσε τοῦ ἀνθυπάτου τὴν πορείαν ποιουμένου, πάλιν τύπτεται βουνεύροις· ἔνθα Σατορνῖλος καὶ Ῥουφῖνος τὸν Χριστὸν ὁμολογήσαντες ξεσθέντες τὰς κεφαλὰς ἀφαιροῦνται. Ἔπειτα τὴν Ἀπολλωνιάδα τοῦ δυσσεβοῦς διερχομένου, κατήρχετο δέσμιος καὶ ὁ ἅγιος· ὡς δὲ ἀνένδοτον εἶδεν αὐτὸν ὀξάλμη ἐγχέας αὐτοῦ ταῖς πληγαῖς τριχίνοις ῥάκεσι κατατρίβει, καὶ σίδηρα πυρωθέντα ἐπάγει αὐτοῦ ταῖς πλευραῖς. Διαβὰς δὲ τὸν Ῥύνδακα καὶ τὴν Ἑρμούπολιν καταλαβὼν καὶ μὴ πεισθεὶς θῦσαι, ἐπὶ ἐσχάρας πεπυρακτωμένης ἁπλοῦται. ⟨Καὶ⟩ ἄνωθεν πίσσης καὶ ἐλαίου ἐπισταζομένου, ὁρῶν ὁ δυσσεβὴς ἀνθύπατος τὸ πῦρ αὐτὸν μὴ ἁπτόμενον, ἐξήνεγκε κατ' αὐτοῦ τὴν διὰ ξίφους ἀπόφασιν· καὶ τμηθεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις πλησίον τῆς Ξηροκίρκου.

Crypt. Δ.α. IX = Cl, ff. 41v-45v

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Ἡ φωτοφόρος σου μνήμη
ἡλιακὰς σήμερον

tit. Τοῦ προφήτου Ἠσαΐου καὶ τοῦ ἁγίου μάρτυρος Χριστοφόρου καὶ τοῦ ἁγίου μάρτυρος τοῦ Χριστοῦ Κοδράτου Εἰς τὸν ὄρθρον κανὼν τοῦ ἁγίου...
heirm. α' EE 106, n. 149, Andreae

μαρμαρυγὰς τοῖς ἐπὶ γῆς
ἐπαναστράπτει, μακάριε,
καὶ καταυγάζει τὰ πέρατα
ᾄσμασιν
ὑμνολογοῦντά σε, σοφὲ
Κοδράτε, μάρτυς Χριστοῦ.

Εἰδωλικῆς ἀπιστίας
τὸ ἀστατοῦν πέλαγος
ὑπερνηξάμενος, σοφέ,
τῇ κυβερνήσει τοῦ πνεύματος,
εἰς τὸν λιμένα κατήντησας,
ἔνδοξε,
τὸν ἐπουράνιον, ἀεὶ
ὑπὲρ ἡμῶν δυσωπῶν.

Τῷ θεϊκῷ ζήλῳ, μάρτυς,
ἀνεφλέχθης, ἔνδοξε,
ἐν πεποιθήσει ἀκλινεῖ·
πρὸς τοὺς ἀγῶνας αὐτόκλητος
f. 42 || ἀνενδοιάστως ἐχώρησας,
ἅπασαν
καταβαλὼν τῶν δυσσεβῶν
τὴν ματαιότητα.

Ταῖς τῶν αἱμάτων ῥανίσιν
εἰδωλικοῦ κλύδωνος
ἀποξηράνας τὴν ἰσχύν,
τῷ δροσισμῷ τῶν θαυμάτων σου,
τῶν παθημάτων τὸν καύσωνα,
ἔνδοξε,
ἀποδιώκεις τῶν πίστει
καταφευγόντων εἰς σέ.

Χοροβατεῖς εὐφροσύνως
τὰ νοητά, ἔνδοξε,

17-24 G. van Hooff, *Sancti Codrati seu Quadrati martyris. Acta integra*. Anal. Boll. 1 (1882), 450 § 2: Αὐτόμολος ἥκω ἐνώπιόν σου, ἀνθύπατε, πρόμαχος γενησόμενος τῶν συστρατιωτῶν μου, κατέναντι τοῦ πατρός σου τοῦ διαβόλου· συντόμως οὖν ποίει ὃ βούλει...

σκηνώματα τῶν οὐρανῶν
καὶ θεωρεῖς τὸ ἀμήχανον
κάλλος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
ψάλλων νῦν
σὺν ἀσωμάτοις λειτουργοῖς
τὴν τρισαγίαν ᾠδήν.

θεοτ. Βάτος ἐν ὄρει Σιναίῳ
σὲ προτυποῖ μένουσα
ἄφλεκτος, ἄχραντε ἁγνή·
καὶ γὰρ τὸ πῦρ τῆς θεότητος
οὐ κατεφλέχθης κυήσασα,
μένεις δὲ
ἀδιαφθόρως ὡς τὸ πρὶν
καὶ μετὰ γέννησιν.

ᾠδὴ β'. *Δῶμεν μεγαλωσύνην*

Φαιδρότερον ἡλίου
ἀνατείλασα ἡ μνήμη σου,
τῆς ἀσεβείας ἀχλὺν διώκει,
τῶν εὐσεβῶν δὲ φωτίζει τὰς ψυχάς.

Λαμπρύνεται ἡ κτίσις,
τῶν ἀγώνων σου τὸ μέγεθος
κατανοοῦσα καὶ μεγαλύνει
τὸν ἀθλοθέτην σου, μάρτυς, Ἰησοῦν.

« Τεμνέσθωσάν μου σάρκες
καὶ πυρὶ καταφλεγέσθωσαν,
τῆς τοῦ Χριστοῦ με ἀγάπης ὅλως
οὐδὲν χωρίσει », ἐβόας, ἀθλητά.

---

heirm. β' EE 94, n. 133, Joannis

Εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε,*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

Θάρσους ἀνάπλεον
ἔχων καρδίαν θεϊκοῦ
καὶ ἀκριβὴς φύλαξ τῶν Χριστοῦ
δικαιωμάτων ὑπάρχων,
θαρρεῖν καὶ μὴ πτοεῖσθαι
παρεκελεύου τοῖς μάρτυσιν, μάκαρ,
φρουρούμενος καὶ ἀθλοῦσι καρτερῶς.

Πῦρ οὐ κατέπτηξας,
οὐ διωκτῶν τὰς ἀπειλάς,
καταφυγὴν ἔχων κραταιὰν
τὸν τοῦ παντὸς συνοχέα,
ἀήττητε Κοδράτε,
οὗ τῇ δυνάμει ῥωννύμενος, πάσας
ἀπεκρούσω τῶν δεινῶν τὰς ἐφορμάς.

f. 42v || Βαίνειν μὴ σθένοντα
καὶ κεκμηκότα ταῖς πληγαῖς,
ἀνηλεῶς ἔφερον, σοφέ,
πεφορτωμένον ἁμάξῃ
οἱ τύραννοι δηλοῦντες
ἐπουρανίοις σε σῖτον ὑπάρχειν
ἀποθήκαις φυλαττόμενον Θεοῦ.

---

heirm. β' ἄλλος EE 105, n. 148, Andreae

61-67 G. VAN HOOFF, o.c., 459-460 § 9: Ὁ δὲ μάρτυς τοῦ Χριστοῦ χαρᾶς πλήρης γενόμενος ἐπὶ τῇ μετανοίᾳ αὐτῶν, ὡς ἴδεν αὐτοὺς δάκρυα ποταμιδὸν καταχέοντας, ἔφη· Θαρσεῖτε, ἀδελφοί, διότι εὔσπλαγχνός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· στῆτε οὖν οὕτως μετὰ δακρύων ἐν τῇ ὁμολογίᾳ αὐτοῦ· καὶ τῷ ἰδίῳ αἵματι ἕκαστος καθαρίσθητε ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν.

75-81 G. VAN HOOFF, o.c., 467-468 § 15: ... καὶ μειδιῶν ἦν, ἐν τῷ αὐτὸν ἕλκεσθαι ὑπὸ τῶν δημίων· διὰ γὰρ τὰς ἐπεχθείσας αὐτῷ ἀπείρους βασάνους μηκέτι ἰσχύων περιπατῆσαι, ἐπὶ ἁμάξης ἐκομίζετο ὑπὸ τῶν δημίων.

61-67 cfr. Luc. 11,28

θεοτ. * Νέον παράδεισον
τὴν σὴν ἐπέγνωμεν νηδύν,
ξύλον ζωῆς φέρουσα Χριστόν,
ἐξ οὗ γευόμενοι πίστει
θνηξόμεθα οὐκέτι
οἱ θεοτόκον ἀεί σε τιμῶντες,
παναγία ὑπερένδοξε ἁγνή.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ὁ στερεὸς τῆς πίστεως ἀδάμας
τυπτόμενος ἠγάλλετο
καὶ λιπαινόμενος τῷ πυρὶ
εὐριζώτερον ἐδήλου
τὸ τῆς ψυχῆς δοκίμιον,
Κοδράτος ὁ ἀοίδιμος.

Ἡ συντριβὴ τοῦ νώτου τὰς παγίδας
τοῦ δυσμενοῦς συνέτριψεν,
τῶν σῶν αἱμάτων δὲ ποταμὸς
ἀθείας τοὺς χειμάρρους
τοὺς θολεροὺς ἐξήρανεν,
Κοδράτε γενναιότατε.

Θωρακισθεὶς τῇ πίστει καὶ ἐλπίδι
καὶ τῇ ἀγάπῃ, ἅγιε,
καὶ χειρισάμενος τοῦ σταυροῦ
τὴν ἀήττητον ῥομφαίαν,
τὴν τοῦ ἐχθροῦ παράταξιν
τελείως ἐξηφάνισας.

Εἱρμὸς ἄλλος. *Ἐστερεώθη*
ἡ καρδία μου τῷ κυρίῳ

Ἐκραταιώθης,
ἀνυψώθης, ἐμεγαλύνθης,

82-88 θεοτ. Para, φλα'
heirm. γ' EE 104, n. 147, Andreae
heirm. γ' ἄλλος EE 105, n. 148, Andreae 2 ἐν κυρίῳ EE

ἐδοξάσθης, τελέσας τὸν ἀγῶνα,
τοῦ ἡλίου ἐφάνης λαμπρότερος·
εἴληφας τῆς νίκης,
μάρτυς Κοδράτε, τὸν στέφανον.

Τὰς ἀτιμίας
καὶ βασάνους οὐδὲν ἡγήσω·
εἰς τὴν δόξαν Χριστοῦ προαποβλέπων,
τοὺς ξεσμούς, τοὺς ῥαβδισμοὺς τοῦ σώματος
ἤνεγκας, Κοδράτε,
θείαις ἐλπίσι νευρούμενος.

Ὡραϊσμένος
τῶν αἱμάτων τῇ πορφυρίδι,
εἰς τὰ ἄνω βασίλεια αὐλίζῃ
βασιλεῖ αἰωνίῳ παριστάμενος,
μάρτυς, καὶ πρεσβεύων
ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

f. 43 θεοτ. || Τὴν συντριβεῖσαν
ἁμαρτίαις ἀνθρώπων φύσιν
ἐν γαστρί σου Χριστὸς ἀναχωνεύει,
προσλαβὼν τὸ καθ' ἡμᾶς ὁ φύσει Θεός,
ὃν ὑπὲρ τοῦ κόσμου,
παρθενομῆτορ, ἱκέτευε.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Εὐσεβείας τὴν γνῶσιν καταλαβών,
ἀγνωσίας τὴν νόσον ἀποβαλών,
. . . .

κάθ. MR V, 67 (in sanctum Christophorum)
sequitur ἕτερον (κάθ.) προσόμοιον in sanctum Christophorum: cfr. commentarium

ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

Τὰ στίγματα τῶν βασάνων
καθάπερ ὡραΐσματα φέρων ὁ μάρτυς
ἐν τῷ σώματι ἠγάλλετο,
τοὺς ὁρῶντας
πάντας πρὸς τὸν ὅμοιον
ἐφέλκων αὐτῷ
ζῆλον τῆς ἀθλήσεως.

Δεσμῶν τῶν περικειμένων
ἠξίωσας τὸν τύραννον ἀπολυθῆναι
καὶ δραμὼν ὡς χοῦν διέλυσας
τῶν ἀθέων
πάντα τὰ σεβάσματα,
ἐλέγχων αὐτῶν,
μάρτυς, τὸ ἀνίσχυρον.

Τυράννων ὡς ἐν ἐκστάσει
τὰς κεφαλὰς διέκοψας, μάρτυς Κοδράτε,
τῇ μαχαίρᾳ τῇ τοῦ πνεύματος
καὶ τῆς νίκης
ἦρας τὸ βραβεῖον, βοῶν·
« δόξα, Χριστέ,
τῇ συγκαταβάσει σου ».

---

heirm. δ' deest in EE, sed in TR, 66

131-137 G. VAN HOOFF, o.c., 457 § 7: . . . οὕτω δὲ καὶ ὁ μέγας ἐν μάρτυσιν Κοδράτος πάντων ἁγίων προεπορεύετο, ἱλαρόν τε τὸ πρόσωπον καὶ ἐρρωμένον ἐπιδεικνύμενος, καὶ τὰ δεσμὰ ὥσπερ τινὰ κόσμον πολύτιμον περικείμενος ἐνηβρύνετό τε καὶ ἔχαιρεν· ὥστε θαυμάζειν ἐπ' αὐτῷ πάντας· οὐ μὴν δὲ ἀλλὰ καὶ τοὺς τῶν ἑλλήνων φιλοσόφους ἐκπλήττεσθαι τὴν τῶν χριστιανῶν σοφίαν καὶ ὑπομονήν, καὶ δοξάζειν τὸν Θεὸν λέγοντες· ὄντως μεγάλη ἐστὶν ἡ τῶν χριστιανῶν πίστις· ὡς καὶ πολλοὺς ἐξ αὐτῶν πιστεῦσαι τῷ Κυρίῳ.

138-144 G. VAN HOOFF, o.c., 458 § 8: Κύριε, κέλευσόν με λυθῆναι. Καὶ ἐκέλευσεν λυθῆναι αὐτόν, νομίσας ὅτι ἐπιθῦσαι μέλει. Λυθεὶς δὲ ὁ ἅγιος τῶν δεσμῶν, ἔδραμεν εὐθὺς εἰς τὸν ναόν· καὶ συντρίψας πάντα τὰ ἐν αὐτῷ ὑπάρχοντα εἴδωλα, ἔρριψεν εἰς τὴν γῆν.

f. 43v ‖ Εἱρμὸς ἄλλος. *Εἰσακήκοα ὁ Θεὸς τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

Ἀφθαρσίας περιβολὴν
ἐνέδυσέ σε τῇ ἀπεκδύσει
τοῦ ἀφθάρτου, τρισμακάριε,
σώματος ὁ κύριος,
ὁ περιβάλλων νέφεσι τὸν οὐρανόν.

Ταῖς τῶν λόγων μαρμαρυγαῖς
τοὺς σκοτισθέντας τῇ ἀπαρνήσει
τοῦ Θεοῦ φωτίσας, ἔπεισας
ἀνεσπέρου χάριτος
τέκνα γενέσθαι, μάρτυς πανεύφημε.

θεοτ. Ἡ νεφέλη ἡ φωτεινή,
ἐξ ἧς προῆλθε δικαιοσύνης
Ἰησοῦς ὁ μέγας ἥλιος
καὶ τὴν γῆν ἐφαίδρυνεν,
ὡς θεοτόκος κόρη δοξάζεται.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

Καὶ λίθοις βαρυνόμενος
καὶ ὄνυξι ξεόμενος
καὶ ταῖς λαμπάσι φλογιζόμενος,
ἐκ τόπων ἐπὶ τόπους
ἀφειδῶς συρόμενος,
ἀκλινὴς διέμεινας,
Κοδράτε μάρτυς τοῦ Χριστοῦ.

---

heirm. δ' ἄλλος EE 107, n. 150, Andreae — 153 ἐνεδέδυσε
heirm. ε' EE 106, n. 149, Andreae

152-156 cfr. I Cor. 15,53-54

Οἱ σκότους ἀνανήψαντες,
φωτὶ δὲ πλησιάσαντες
θεογνωσίας τοῖς σοῖς λόγοις,
ἀγγέλων ὑμνῳδίαν
ὁμαδὸν ἀκήκοαν,
θάρσους ἐκπληρούμενοι,
μάρτυς, καὶ δόξης τοῦ Χριστοῦ.

Ὡς κλῆμα εὐφορώτατον
Χριστῷ καλλιεργούμενον,
τῷ γεωργῷ καὶ ποιητῇ σου,
ἐξήνθησας εὐκαίρως
καρτερίας βότρυας,
οἶνον κατανύξεως,
μάρτυς, προχέοντας ἡμῖν.

Στρεβλώσεως ἠλόγησας
καὶ βόθρου κατεφρόνησας
ὕπνον τὸν θάνατον λελόγισαι,
πυρὸς δὲ οὐκ ᾔσθάνου
πρὸς τὸν σοὶ ποθούμενον
ἀτενίζων, ἅγιε,
τῷ λογισμῷ διηνεκῶς.

θεοτ. Ἑπτάφωτον λυχνίαν σε
καὶ πύλην ἀδιόδευτον
καὶ κιβωτὸν καὶ στάμνον ἔχουσαν
θεότητος τὸ μάννα
καὶ σκηνὴν καὶ τράπεζαν
πάντες ὀνομάζομεν,
Μαρία ἄχραντε ἁγνή.

174-180 G. VAN HOOFF, o.c., 461-462 § 11: Σιγῆς δὲ γενομένης, ἦχος ἠκούσθη φωνῶν ἀγγελικῶν, αἰνούντων τὸν θεὸν καὶ δοξαζόντων. Ὡρῶν δὲ δύο διαγενομένων, ἐλύετο κατὰ μέρος τὸ σκότος, καὶ ἤρξαντο οἱ ἕλληνες ἀτενίζειν καὶ βλέπειν τὸ περὶ τοῖς ἁγίοις φῶς.

f. 44 ‖ ᾠδὴ ϛ΄. *Ζάλη με λογισμῶν καταλαβοῦσα*

Τὸ τέλος
διὰ ξίφους δεδεγμένος,
ἀνῆλθες στεφόμενος
ἀγγελικαῖς εὐφημίαις,
ἔνθα ἦχος ὑπάρχει καθαρὸς
λαμπρῶς ἑορταζόντων,
μεγαλομάρτυς Ἰσάγγελε.

Κάτοχος
γεγονὼς θείας ἀγάπης
καὶ ταύτης φλεγόμενος
τῇ δίψῃ, μάρτυς Κοδράτε,
μαρτυρίου ποτήριον, σαφῶς
τὸ ὄνομα κυρίου
ἐπικαλούμενος, ἔπιες.

Ἐσχάρας
τὸ φλογῶδες οὐκ ᾐσθάνου·
εἶχες γὰρ δροσίζοντα
τὸν πάλαι δρόσον ὀφθέντα
ἐν καμίνῳ υἱὸν μονογενῆ,
ἀήττητε Κοδράτε,
κλέος μαρτύρων καὶ καύχημα.

Ὁ μέγας
Σατουρνῖνος καὶ Ῥουφῖνος
ἀβρόχως τὸ πέλαγος
τὸ τῶν βασάνων διῆλθον
καὶ λιμένι προσώρμισαν ζωῆς,
Κοδράτε, ταῖς εὐχαῖς σου,
νίκης βραβεῖα δεξάμενοι.

---

heirm. ϛ΄ EE 107, n. 150, Andreae

216-222 Dan. 3,49-50

θεοτ. Ὁ κλύδων
τῶν ἀμέτρων μου πταισμάτων
εἰς βυθὸν καθέλκει με
τῆς ἀπογνώσεως, κόρη,
ἀλλὰ σοῦ τῷ λιμένι τῆς θερμῆς
προστρέχω προστασίας,
δέσποινα πάναγνε, σῶσόν με.

f. 44ᵛ ‖ ᾠδὴ ζ΄. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

Τῆς φθειρομένης καὶ κάτω
πατρίδος τὴν ἄφθαρτον
καὶ οὐράνιον, ἔνδοξε,
ἠλλάξω μητρόπολιν,
ἧς τεχνίτης ὁ κύριος·
ἔνθα στῖφος μαρτύρων
καὶ πνεῦμα δικαίων.

Ἐπὶ τὴν σὴν τῆς καρδίας
οἰκίαν συρρεύσαντες
τῶν βασάνων οἱ χείμαρροι,
ταύτην οὐκ ἐσάλευσαν·
ἐπὶ Χριστοῦ γὰρ τὴν πέτραν
τεθεμελιωμένη
ὑπῆρχεν, ἀθλοφόρε.

Ἐκ φυλακῆς ζοφωτάτης
καὶ πόνων στενώσεως
πρὸς εὐρύχωρον σκήνωμα
χαίρων μεταβέβηκας,
ἔνθα ἀπέδρα ὀδύνη,
στεναγμός τε καὶ λύπη,
ἀοίδιμε Κοδράτε.

---

234 ἀλλοῦ
post oden ϛ΄ sequitur κοντάκ. et οἶκ. in honorem S. Christophori: cfr. commentarium
heirm. ζ΄ EE 101-102, n. 143, Cosmae

244-250 Matth. 7,24-25

Οὐ σαρκικά σου τὰ ὅπλα
ἐχθρῶν πρὸς καθαίρεσιν,
ἀλλ' ἀγάπη καὶ πνεύματος
ἁγίου ἐνίσχυσις
καὶ σὺν ἐλπίδι ἡ πίστις,
ἀξιάγαστε μάρτυς,
δι' ὧν ἐστεφανώθης.

θεοτ. Τὴν καλλονὴν Ἰακὼβ σε
Θεὸς ἐξελέξατο
καὶ ἐν σοὶ κατεσκήνωσεν
καὶ ἐκ σοῦ προέρχεται,
ὥσπερ νυμφίος ὡραῖος
ἐκ παστοῦ, θεοτόκε,
ἡμᾶς ἀνακαινίζων.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Κυλιόμενον ἐν τῇ γῇ
λίθον σε
ἐπέγνωμεν σαφῶς,
f. 45 Χριστὸν τὴν πέτραν τῆς || ζωῆς
ἐναντίον ὁμολογοῦντα
ἐχθρῶν παρανόμων
καὶ δαιμόνων συντρίβοντα ξόανα,
στήλη τῶν μαρτύρων
καὶ καύχημα Κοδράτε.

Ῥαβδιζόμενος καὶ πυρὶ
φλεγόμενος
καὶ ὄξει τὰς πληγὰς

265-267 tres primi vv. θεοτ. in MR IV, 355
heirm. η' EE 107, n. 150, Andreae

275-276 I Cor. 10,4

ἀνατριβόμενος δεινῶς
καὶ ξεόμενος πολυτρόπως
καὶ λίθῳ τὸ σῶμα
βαρυνόμενος, χαίρων ὑπέφερες,
τὸν σὲ δυναμοῦντα,
μάρτυς, Θεὸν δοξάζων.

« Αἰσχυνέσθωσαν οἱ γλυπτοῖς
προσάγοντες
τὸ σέβας ἀσεβῶς
καὶ σὺν αὐτοῖς τῇ τοῦ πυρὸς
ἐκπεμπέσθωσαν τιμωρίᾳ »,
ἐβόας, Κοδράτε,
« τῷ Θεῷ δὲ τιμὴ καὶ προσκύνησις
πάντων ὡς δεσπότῃ
ἀπαύστως προσαγέσθω ».

Τῶν μαρτύρων ἡ καλλονή,
ὁ πρόμαχος
τῆς πίστεως ἡμῶν,
ὁ στρατιώτης τοῦ Χριστοῦ,
τῶν ἀγγέλων ὁ συμπολίτης,
θαυμάτων ἡ βρύσις,
ἡ τριβὴ τῶν ἀγώνων ἐν ᾄσμασιν
σήμερον τιμάσθω,
ὁ μέγιστος Κοδράτος.

θεοτ. Γῆ ἁγία, θρόνος Θεοῦ,
παλάτιον
καὶ ῥάβδος Ἀαρών,
θυμιατήριον χρυσοῦν,
ἀλατόμητον θεῖον ὄρος
καὶ μήτηρ παρθένος,
ἀπειράνδρως τεκοῦσα καὶ τρέφουσα
πάντων τὸν τροφέα,
σὺ εἶ εὐλογημένη.

284 δεινὸς

ᾠδὴ θ′. *Ὅτι ἐποίησέν μοι*

Αἱμάτων ἐξ οἰκείων
πορφυρίδα, μάρτυς, φορῶν
καὶ φέρων δεξιᾷ σου τὸν σταυρὸν
ὥσπερ σκήπτωρ, τῷ Χριστῷ
τῷ ἀθανάτῳ βασιλεῖ
συμβασιλεύεις ἀεί.

Ἡ μνήμη σου ἐπέστη,
χαρισμάτων παντοδαπῶν
ἀκτῖνας ἀπαστράπτουσα σαφῶς
καὶ φωτίζει τοὺς πιστῶς
ἀνευφημοῦντας τοὺς σεπτούς,
μάρτυς, ἀγῶνάς σου.

Τετέλεκας τὸν δρόμον
καὶ τετήρηκας ἀκριβῶς
τὴν πίστιν καὶ μετῆλθες πρὸς Θεόν,
τὸν τῆς νίκης παρ' αὐτοῦ
f. 45v || ἀποληψόμενος φαιδρόν,
Κοδράτε, στέφανον.

Τὴν ποίμνην σου τελοῦσαν
τὴν ἁγίαν σου ἑορτὴν
καὶ ψάλλουσαν κυρίου τὴν ᾠδήν,
ἐκ παντοίων πειρασμῶν
σῶζε πρεσβείαις σου ἀεί,
μεγαλομάρτυς Χριστοῦ.

θεοτ. Ἐν πόκῳ τῆς γαστρός σου
ὁ οὐράνιος ὑετὸς
κατέβη καὶ ἐξήρανεν ἡμῶν
τῶν πταισμάτων τὰς πηγάς,
ἀθανασίας ποταμοὺς
ἡμῖν ἐκβλύσας, ἁγνή.

---

heirm. θ′ EE 106, n. 149, Andreae

329-334 cfr. II Tim. 4,7-8

IN SANCTUM HARMODIUM — QUI ET ARDOMIUS DICITUR — ET SOCIOS SUOS

Synaxarium *: Τοῦ ἁγίου μάρτυρος Μωκίου καὶ τοῦ ἁγίου μάρτυρος Ἁρμοδίου καὶ τῶν σὺν αὐτῷ.

Crypt. Δ.α. IX = Cl, ff. 54-57v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἁρμόδιε προσᾴδειν σοι εὐθὺ ἔπος με διδάξαις.
Ἐν δὲ τοῖς θεοτοκίοις· Ἀρσενίου.

Ἦχος πλ. δ′.

ᾠδὴ α′. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Ἄϋλον φῶς ὑπάρχων, μόνε κύριε,
καὶ ἀπερίγραπτον,
τὸν ζοφερὸν νοῦν μου
φώτισον, φιλάνθρωπε,
δι' οἰκτόν σου ἀμέτρητον
καὶ παράσχου μοι λόγον
ὑμνῆσαι τοὺς θείους μάρτυρας,
τοὺς διὰ σὸν πόθον ἀθλήσαντας.

Ῥεῖθρα χαρίτων φερωνύμως, ἅγιε
μάρτυς Ἁρμόδιε,
ὡς ἐκ πηγῆς βρύων
ἀενάου πίστει σοι
τοῖς προσιοῦσι πάντοτε,

(*) e cd. Cryptensis Δ.α. IX

tit. Τοῦ ἁγίου μάρτυρος Μωκίου καὶ τοῦ ἁγίου μάρτυρος Ἁρμοδίου καὶ τῶν σὺν αὐτῷ Εἰς τὸν ὄρθρον κανὼν ..... in acr. nomen Ἀρμοδιε, sed e litteris capitalibus troparioru m nomen Ἀρδομιε vero deducitur.

heirm. α′ EE 219, n. 314, Joannis

τῇ ἀρδείᾳ σου πλῦνον
κἀμοῦ τὸν σπίλον καὶ φώτισον,
ὅπως ἐπαξίως ὑμνήσω σε.

Δύναμιν θείαν ἐκ Θεοῦ δεξάμενος,
μάρτυς Ἁρμόδιε,
τὰς τοῦ ἐχθροῦ πάσας
δυνάμεις κατέβαλες
σὺν Γρηγορίῳ, ἔνδοξε,
Ἰωάννῃ τε ἅμα
καὶ Μιχαὴλ τοῖς συνάθλοις σου·
ὅθεν ἐπαξίως δοξάζεσθε.

Ὁ ἑωσφόρος ὁ τὸ πρὶν καυχώμενος
θήσειν τὸν θρόνον αὐτοῦ
εἰς οὐρανὸν ἄνω,
ὡς στρουθίον πέπτωκεν
ὑμῶν ἀθλήσει, ἅγιοι,
καὶ πατούμενος κάτω
ὑπὸ ποδῶν ὑμῶν, μάρτυρες,
γοερῶς θρηνεῖ τὴν κατάπτωσιν.

θεοτ. Ἀπειρογάμως τὸν Θεὸν συνέλαβες
ἐν τῇ νηδύϊ σου
f. 54v ‖ μητροπρεπῶς, κόρη,
συνεργίᾳ πνεύματος
τοῦ παναγίου, ἄχραντε,
καὶ τεκοῦσαν, ἀφράστως
αὐτὸς ὡς μόνος ἐπίσταται,
πάλιν σε παρθένον ἐφύλαξεν.

ᾠδὴ β΄. *Ἴδετε ἴδετε,*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν

Μέγας εἶ, κύριε,
καὶ πολυέλεος, ὅτι ἔδειξας

heirm. β΄ EE 226, n. 323, Germani

25-32 cfr. Is. 14,12-16

φαεινοὺς λαμπτῆρας
ἐν ἐσχάτοις τοῖς καιροῖς
κεκρυμμένους πάλαι εἰς ψυχῶν καὶ σωμάτων ἡμῶν
ἑκάστοτε ἰατρείαν·
καὶ δοξάζομεν τὴν ἄκραν σου χρηστότητα.

Ἵνα σοῦ τύχωσιν,
σῶτερ, τῆς κλήσεως καὶ τῆς χάριτος,
θείων τε στεφάνων
οἱ γενναῖοι ἀθληταί,
πᾶσαν ἐπὶ γῆς μετ᾽ εὐφροσύνης ἐδέξαντο
βασάνων πεῖραν καὶ θλῖψιν
καὶ παρίστανταί σοι νῦν στεφανηφόροι φαιδροί.

Ἔπαυσαν αἵματα
οἱ θεῖοι μάρτυρες ἐπιβώμια
αἵμασιν οἰκείοις
αἰκισμῶν ἐπιφοραῖς,
στήλας τε δαιμόνων ἐπὶ γῆς κατεδάφισαν,
Ἁρμόδιος, Μιχαήλ τε
καὶ Γρηγόριος ὁμοῦ σὺν Ἰωάννῃ σοφῷ.

Πλάνης σοφίσματα
ὄντως, πανένδοξοι, νενικήκατε
τοῦ δεινοῦ Βελίαρ,
ἐν φρονήσει θεϊκῇ·
ὅθεν τῇ ἀνδρείᾳ ἡττηθεὶς ὑμῶν, ἅγιοι,
ῥιψάσπις φυγὰς ἐδείχθη
ὁλικῶς ὁ ἀλαζὼν καὶ πανέχθιστος.

θεοτ. Ῥάβδος βλαστήσασα
τοῦ Ἀαρὼν ποτε προετύπου σε,
ὦ παρθενομῆτορ
θεοτόκε Μαριάμ·
ἔτεκες ἀνίκμως τὸν κτίστην τὸν ἴδιον,
εἰς κόσμου τὴν σωτηρίαν·
διὸ πάντες πιστοὶ μακαρίζομεν.

74 εἰς] ει ed.

ᾠδὴ γ΄. *Ὁ στερεώσας κατ᾽ ἀρχὰς*

Ῥανίσιν οἷα ὀχετοῖς
αἱμάτων, ἅγιοι, θείων
τῆς σαρκὸς ὑμῶν, στερροὶ ἀθλοφόροι,
ἡγιάσατε τὴν γῆν
καὶ στήλας ἐδαφίσαντες
τῶν πονηρῶν δαιμόνων
ναοὺς Θεοῦ ἐξηγείρατε.

Οὐ κατεπλάγητε ὑμεῖς
τὰς ἀπειλὰς τῶν τυράννων,
οὐ στρεβλώσεις οὔτε πῦρ οὔτε ξίφος,
f. 55 ‖ ἀθλοφόροι τοῦ Χριστοῦ,
ἐχαίρετε δὲ πάσχοντες
ἐλπίδι τῶν μενόντων
ὑμᾶς στεφάνων νευρούμενοι.

« Στῶμεν ἀνδρείως », οἱ σοφοὶ
παραθαρρύνοντες πίστει
ἑαυτοὺς καρτερικῶς ἀνεβόων,
ὑποφέροντες ποινάς·
« οὐκ ἄξια γὰρ πέλουσι
τὰ παθήματα ταῦτα
πρὸς μόνα τὰ ἐλπιζόμενα ».

Ἄκος ἀρδεύεις τοῖς πιστῶς
προσερχομένοις σοι, μάρτυς,
ὡς φερώνυμος ἀρδείας ὑπάρχων
καὶ ἐκπλύνεις τὸν ἑσμὸν
τῶν νόσων ἱκεσίαις σου,
ταῖς πρὸς τὸν κτίστην πάντων,
Ἀρδόμιε θεοπόθητε.

θεοτ. Σκηνὴ ὑπῆρξας τοῦ Θεοῦ
ὑπὲρ τὴν πάλαι, παρθένε,
Χερουβὶμ οὐκ ἔνδον φέρουσα, κόρη,

heirm. γ΄ EE 219, n. 314, Joannis

ἀλλ᾽ αὐτὸν τὸν Χερουβίμ,
Θεὸν γαστρὶ βαστάσασα
καὶ ἀνεκφράστως τοῦτον
τέξασα εἰς σωτηρίαν ἡμῶν.

ᾠδὴ δ΄. *Σύ μου, Χριστέ,*

Δεῦτε πιστοί,
ἐπὶ τῇ μνήμῃ τοῦ μάρτυρος
Ἀρδομίου
χοροὺς συστησώμεθα
πνευματικούς· πάρεστι γὰρ νῦν
ἡμῖν συγχορεύων
ἐν τῷ ναῷ τῷ σεπτῷ αὐτοῦ
καὶ γήθεται, πρεσβεύων
τῷ τῶν ὅλων δεσπότῃ
τοῦ ῥυσθῆναι ἡμᾶς περιστάσεως.

Ἐπὶ τῆς γῆς
πᾶσαν ἰδέαν ὑπέστητε
τῶν βασάνων,
μάρτυρες ἀήττητοι,
καὶ νῦν σαφῶς ἐν τοῖς οὐρανοῖς
σὺν τοῖς ἀσωμάτοις
ἀγάλλεσθε, παμμακάριστοι,
Ἁρμόδιε θεόφρον,
Ἰωάννη τε θεῖε
καὶ Γρηγόριε, σὺν Μιχαὴλ τῷ σοφῷ.

Ἴθι, σοφέ,
ὀψόμενος νῦν τὰ τέκνα σου·
ἥκασι γὰρ
πόρρωθεν ἀσμένως λαοὶ
σὺν τοῖς ἐγγὺς πίστει ἀκλινεῖ
τοῦ ἐγκωμιάσαι
σὲ ἐπαξίως, Ἁρμόδιε·

heirm. δ΄ EE 219, n. 314, Joannis 122 εἰδέαν

διὸ ἐπευλογήσῃς
καὶ ἰάσῃ τοὺς νόσῳ
κακουμένους τῇ θείᾳ σου χάριτι.

f. 55v ‖ Νόσους λυγράς,
μάρτυρες Χριστοῦ πανάγαστοι,
ἐξιᾶσθε
χάριτι τοῦ πνεύματος
τοῦ παναγίου τῶν ἀσθενῶν,
Ἀρδόμιε μάρτυς,
Γρηγόριε καρτερόψυχε
καὶ θεῖε Ἰωάννη,
Μιχαήλ τε παμμάκαρ·
διὰ τοῦτο ὑμᾶς μακαρίζομεν.

θεοτ. Ἐπὶ τῆς γῆς
ὤφθη Θεὸς διὰ σοῦ τοῖς βροτοῖς,
οὐκ ἐάσας
κόλπους τοῦ ἀνάρχου πατρός,
καὶ σαρκωθεὶς ἐκ σοῦ τῆς ἁγνῆς
πνεύματος ἁγίου
τῇ συνεργίᾳ προέρχεται,
φυλάξας σε παρθένον
ὡς πρὸ τόκου· διό σε
οἱ πιστοί, θεοτόκε, δοξάζομεν.

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Στρατιῶται γενναῖοι
ὤφθητε παράταξιν
ἐχθροῦ τροπούμενοι,
τῇ ἐλπίδι θείᾳ
καὶ ἀγάπῃ καὶ πίστει, πανένδοξοι,
τοῦ Χριστοῦ ῥωσθέντες

heirm. ε΄ EE 219, n. 314, Joannis

161-168 II Tim. 2,3-5

καὶ τῇ αὐτοῦ δυνάμει τοῦτον
καθελόντες, ἐνθέως ἐστέφθητε.

Ὁ τὸ πάλαι ὑπάρχων
λόφος, θεῖοι μάρτυρες,
εὐκαταφρόνητος
τοῖς ἀγροίκοις, αὖθις
τῇ ὑμῶν ἐκκαλύψει καθαίρεται,
μεταμείβεται δὲ
πρὸς λογικῶν θρεμμάτων οἶκον
καὶ παθῶν ἰατρεῖον ἀδάπανον.

Ἰαμάτων τὰ πλήθη,
μάρτυρες πανεύφημοι,
ἀναπηγάζετε
ὡς ἐκ κρήνης θείας
τῶν πανσέπτων ἰχώρων ἑκάστοτε·
διὰ τοῦτο πίστει
ἐν τῷ ναῷ ὑμῶν προστρέχει
πᾶς πιστὸς ῥῶσιν θείαν ἀρύσασθαι.

Ἐμβριμώμενοι σφόδρα
ὤφθητε, πραότατοι,
τοῖς ἐπεισάγουσιν
ἐν τῷ τόπῳ, ἔνθα
τὰ σεπτὰ ὑμῶν λείψανα ἔκειντο,
τῶν ἀλόγων ζώων
καὶ τετραπόδων τὰς ἀγέλας
καὶ ἐμφόβους αὐτοὺς ἀπειργάσασθε.

θεοτ. Νοεράν σε λυχνίαν
πίστει χρυσαυγίζουσαν
καλοῦμεν, ἄχραντε,
μεστὴν οὖσαν θείων
f. 56 χαρισμάτων τοῦ ‖ ἁγίου πνεύματος,
ἐν ᾗ κατοικήσας
ὁ παντουργὸς Θεός, παρθένε,
τὸν περίγειον κόσμον ἐφώτισεν.

199 παρθένον

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτιῶν*

Ὕμνησε θαυμαστικῶς
χάριν, μάρτυρες, Χριστοῦ τὴν δοθεῖσαν
ἐν τοῖς ὑμῶν λειψάνοις
ὡς ἰάθη τὸ γύναιον,
τὸ τομῶς ἐκ τῆς σοροῦ
λίθον ἐξᾶραι ὑμῶν τολμῆσαν·
ἀορασία γὰρ κεκράτηται.

Θαύμασιν ἐν ἱεροῖς
καὶ σημείοις καὶ πολλαῖς ὀπτασίαις
ἡ τῶν λειψάνων θήκη
τῶν ὑμῶν ἀναφαίνεται,
τοῖς πιστοῖς εἰς ἱλασμὸν
καὶ ἀπολύτρωσιν τῶν πταισμάτων
καὶ νοσημάτων πάντων ἴασιν.

Ὕδωρ τὸ ζωοποιὸν
καὶ ἀλλόμενον ὑμῶν τῇ καρδίᾳ
ἐπισκηνῶσαν ὄντως
ἐκ δυνάμεως, ἔνδοξοι,
ἀνεβίβασεν ὑμᾶς
θείαν εἰς δύναμιν, ἀθλοφόροι,
ἐκ θείων πράξεων εἰς ἄθλησιν.

Ἔπνευσεν ὑπερφυῆ
εὐωδίαν ἡ σορὸς τῶν λειψάνων,
ἡνίκα ἐρευνῶντο
τῇ σκαφῇ ὑμῶν, ἅγιοι,
καὶ ἐξέστησαν ὁμοῦ
πάντες οἱ πόρρωθεν καὶ ἐγγύθεν,
Χριστὸν δοξάζοντες χαρμόσυνα.

---

heirm. ς' ΕΕ 222, n. 318, Joannis

215-221 Joh. 4,14

θεοτ. Ἵλεών μοι τὸν Θεὸν
καὶ υἱόν σου, θεοτόκε, πρεσβείαις
ταῖς σαῖς τῷ σὲ ὑμνοῦντι
καταχρέως ἀπέργασαι·
ἁμαρτίαις γὰρ πολλαῖς
καταβεβάρυμμαι, βοηθείας
τῆς σῆς δὲ χρήζω, πανάμωμε.

Κάθισμα.

Ἦχος β'. *Τῷ Θεῷ ἀπὸ μήτρας*

Ἡ σεπτὴ τῶν μαρτύρων
μνήμη ἐπέστη,
τοὺς πιστοὺς συγκαλοῦσα πανηγυρίζειν·
διὸ σπουδαίως συνδράμωμεν ἅπαντες
ἐν τῷ πανσέπτῳ ναῷ αὐτῶν ᾄδοντες
καὶ τὸν δεσπότην ἱκετεύσωμεν·
« αὐτῶν ταῖς προσευχαῖς
σῶσον τὰς ψυχὰς ἡμῶν ».

f. 56v || ᾠδὴ ζ'. *Θεοῦ συγκατάβασιν*

Παγίαν ἐδέξατο
ῥομφαίαν ὄντως
ἐν τῇ καρδίᾳ Σατᾶν
τὰς πληγὰς τῶν ἁγίων
ἐπενεχθείσας
ἐκ τῶν τυράννων αὐτοῖς
καὶ ἐμελῴδουν
τῷ κτίστῃ χαρμόσυνα·
« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

---

heirm. καθ. ΑΚΠ, 37
heirm. ζ' ΕΕ 219, n. 314, Joannis   245; 275 vv. om.

Ὀξέως προφθάσαντες
ἰᾶσθε οἴκτῳ
οἴκοι τὴν πάσχουσαν
τῇ πυρώσει γυναῖκα
καὶ τῇ κωφεύσει
καὶ τῇ φρενίτιδι,
πρεσβευσαμένην
διὰ τοῦ ὁμαίμονος
πρεσβύτου ἐν τῷ ναῷ
ὑμῶν, πανθαύμαστοι.

Συντρέχει τὸ βρότειον
Ἑλλάδος πάσης
φῦλον, παγγέραστοι,
τῷ σεπτῷ ὑμῶν δόμῳ
καὶ συγκαλεῖται
πόλεις τὰς πόρρω αὐτῆς
ἀσμένως ἄμφω
ἑορτὴν συστήσασθαι
καὶ τῷ σωτῆρι βοῆσαι
χαριστήρια.

Μαρτύρων ὁ σύλλογος
καὶ ἀποστόλων
καὶ προφητῶν ἡ πληθύς,
ἱερέων τε δῆμος
καὶ τῶν ὁσίων
ἐπὶ τῇ μνήμῃ ὑμῶν
συνευωχεῖται,
ἡμεῖς δὲ κραυγάζομεν·
« εὐλογητὸς ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ὁ πάλαι προπάτωρ σου
Δαυὶδ ἐκάλει
σὲ ὄρος ἅγιον,
συνῳδὰ δὲ ἐβόα
καὶ ὁ προφήτης
Δανιήλ, ἄχραντε,

ἐξ οὗ ἐτμήθη
Χριστὸς ὁ Θεὸς ἡμῶν,
συντρίψας πλάνης βωμοὺς
εἰς σωτηρίαν ἡμῶν.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Εἰς πᾶσαν γῆν διέδραμεν
ἡ πληθὺς τῶν θαυμάτων ὑμῶν,
ἣν ποταμηδὸν ἐκ τῆς σοροῦ ἐκβλύζετε
δυνάμει τοῦ πνεύματος
τοῦ παναγίου, μάρτυρες·
ὅθεν ἡλικία πᾶσα ἕλκεται πόθῳ
ὑμῶν ἐν τῷ τεμένει,
τῷ σωτῆρι βοῶσα·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Δωρεὰν κομισάμενοι,
δωρεὰν πᾶσι νέμετε
ἐκ τῶν τοῦ κυρίου χαρισμάτων, ἅγιοι·
διὸ καὶ τὸ γύναιον
τὸ ἰαθὲν τῇ κλήσει ὑμῶν
σφαλαγγίας νόσου μέλους σκέλους, γεραίρει
τὴν θείαν ὑμῶν χάριν
καὶ βοᾷ γηθοσύνως·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 57 ‖ Ἵνα πιστῶς δοξάζωμεν
καὶ τιμῶμεν, πανεύφημοι
μάρτυρες κυρίου, τὰ ὑμῶν μνημόσυνα,

heirm. η' ΕΕ 219-220, n. 314, Joannis   294-295; 304-305; 314-315; 324-325; 333-335 vv. om.

286-387 cfr. Ps. 18,5; Rom. 10,18   296-298 cfr. Matth. 10,8

ἐκ πάσης κακώσεως
νόσου ψυχῆς καὶ σώματος
ῥύσασθε ἡμᾶς ταῖς πρὸς Θεὸν ἱκεσίαις
ὑμῶν, ἵνα βοῶμεν·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Δόμος ὁ ἱερὸς ὑμῶν
ἰατρεῖον τοῖς κάμνουσιν
πέφυκε, λιμήν τε τοῖς ἐν ζάλῃ πέλουσι
καὶ τεῖχος ἀπόρθητον
καὶ παθῶν ἀποτρόπαιος
καὶ ἁμαρτωλῶν ἐξιλαστήριον μέγα
πρὸς τὸν Θεὸν τῶν ὅλων,
τοῖς ἐν πίστει βοῶσιν·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὑπὸ δεινῶν θλιβόμενοι
διὰ πλῆθος, πανάχραντε,
τῶν ἁμαρτιῶν, ἃς ἀνενδότως πράττομεν,
πρὸς σὲ καταφεύγομεν
τῇ τῆς χαρᾶς προξένῳ ἡμῖν
μόνῃ γεγονυίᾳ καὶ βοῶμεν ἀπαύστως·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός*

Ἀντάξια τῶν πόνων τὰ ἀγαθὰ
πρὸς Θεοῦ κομισάμενοι, ἅγιοι,
ἐν οὐρανοῖς

311 ῥύσασθαι 322 τὸν ὅλων 328 ὧν ἀνενδότως
heirm. θ' EE 220, n. 314, Joannis

στεφανηφοροῦντες χαρμονικῶς,
αὐτῷ φαιδρῶς παρίστασθε,
αἶνον σὺν ἀγγέλοις εἰλικρινῶς,
χοροῖς τε τῶν δικαίων
προσφέροντες ἀπαύστως
καὶ ἐντρυφῶντες αἰωνίου ζωῆς.

Ξιφῶν, πυρός, ὀργάνων στρεβλωτικῶν,
ἀρθρεμβόλων, μαστίγων, πριστήρων τε
μυκτηρισμῶν
πεῖραν καὶ εἱρκτῆς ὑπὲρ τοῦ Χριστοῦ
χαρμονικῶς ὑποίσαντες,
στέφος ἐκ χειρὸς αὐτοῦ δεξιᾶς
εἰλήφατε, γενναῖοι,
καὶ νῦν ἐν οὐρανίαις
σκηναῖς ἀγάλλεσθε, πανεύφημοι.

Ἀνήφθησαν ὡς ἄνθρακες νοητοὶ
οἱ πανεύφημοι μάρτυρες πρὸς τοῦ Θεοῦ,
ἐπὶ τῆς γῆς
φλέξαντες τῆς πλάνης τὸ ὑλικόν,
Ἀρδόμιος, Γρηγόριος
ἅμα Ἰωάννῃ καὶ Μιχαήλ,
σὺν Παύλῳ τῷ συνάθλῳ
καὶ λάμπουσι τῷ κόσμῳ
μαρμαρυγὰς θείων ἰάσεων.

Ἰάσαις μου τὰ πάθη τὰ τῆς ψυχῆς
καὶ σαρκὸς τὰς ὀδύνας, Ἀρδόμιε,
ἐκδυσωπῶ
f. 57ᵛ σὲ τὸν συμπαθέστατον ‖ ἰατρὸν
πρεσβευτικαῖς δεήσεσιν
σοῦ πρὸς τὸν τῶν ὅλων δημιουργόν,
δεξάμενός μου, μάρτυς,
τὸν ὕμνον τῶν χειλέων,
εἰ καὶ ἀνάξιος καθέστηκεν.

θεοτ. Σοφίαν ἐνυπόστατον τοῦ Θεοῦ
συλλαβοῦσα νηδύϊ, πανάμωμε,

τοῖς ἐπὶ γῆς
ἔτεκες ἄνθρωπον ἀληθῆ
τῇ συνεργίᾳ, ἄχραντε,
πνεύματος ἁγίου, τοῦ παντουργοῦ
πατρὸς ἐν εὐδοκίᾳ·
διό σε καταχρέως
ἐν ὕμνοις πάντες μεγαλύνομεν.

IN SANCTUM MOCIUM

Synaxarium, 674-676*: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μωκίου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐξ Εὐρώπης, πρεσβύτερος ὑπάρχων ἐν Ἀμφιπόλει τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας· γεννήτορες δὲ αὐτῷ Εὐφράτιος καὶ Εὐσταθία εὐγενεῖς πάνυ καὶ πλούσιοι ἐκ τῆς πρεσβυτέρας Ῥώμης ὁρμώμενοι. Ὁ δὲ ἅγιος Μώκιος ἀεὶ τῇ διδασκαλίᾳ προσέχων καὶ τὸν Χριστὸν καταγγέλλων καὶ ἀπέχεσθαι τῆς πλάνης τῶν εἰδώλων παρεγγυῶν, ἐπεὶ θυσίας τελουμένης παρὰ Λαοδικίου ἀνθυπάτου τῷ Διονύσῳ καὶ τῶν εἰδωλολατρῶν συνηγμένων προσελθὼν ἀνέτρεψε τὸν βωμόν, κατασχεθεὶς τὸν Χριστὸν ὡμολόγησε· καὶ πρῶτον μὲν κρεμασθεὶς ξέεται ἀπὸ τῶν κροτάφων τάς τε σιαγόνας καὶ τὰς πλευράς· ἔπειτα δὲ ἐξαφθείσης καμίνου καὶ πίσσης καὶ στυπείου καὶ κληματίδων, ὡς ἐπὶ ἑπτὰ πήχεις ὑψοῦσθαι τὴν φλόγα, μέσον ἐμβάλλεται· ἡ δὲ φλὸξ τοῦτον ὑπολαβοῦσα σῶον ἐφύλαξε, καὶ ὡρᾶτο μέσον αὐτῆς ἐμπεριπατῶν μεθ᾿ἑτέρων ἀνδρῶν ἐνδόξων τριῶν, ὧν ἑνὸς τὸ πρόσωπον ὑπὲρ τὰς αὐγὰς ἤστραπτε τοῦ πυρός, καὶ ἐξῆλθεν ὁ ἅγιος ὑγιής, μηδὲ μέχρι τριχὸς ἁψαμένης αὐτοῦ τῆς φλογός· ἥτις ἐπιχυθεῖσα τὸν ἀνθύπατον καὶ ἐκ τῶν μετ᾿ αὐτοῦ ἄνδρας ἐννέα κατέφλεξεν, ὡς μηδὲ βραχύ τι μέρος τοῦ σώματος αὐτῶν μαρανθείσης τῆς φλογὸς εὑρεθῆναι. Καὶ τότε μὲν ἐβλήθη ἐν τῇ εἱρκτῇ ὑπὸ τοῦ πρίγκιπος Θαλασσίου ὁ μακάριος μάρτυς, ὕστερον δὲ Μαξίμου τοῦ ἀνθυπάτου καταλαβόντος, κατέστη ὁ ἅγιος εἰς ἐξέτασιν καὶ μὴ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστὸν ἀλλὰ μᾶλλον κηρύξας λαμπρῶς, ἐν δυσὶ τροχοῖς δεσμεῖται, ὑφ᾿ ὧν συμπατεῖται καὶ κατατέμνεται. Παραδόξως δὲ ἐκ τούτων ῥυσθεὶς θηρίοις ἀφίεται· ἀβλαβὴς δὲ ἐξ αὐτῶν διαμείνας, τοῦ δήμου ἐπιβοῶντος αὐτὸν ἀπολύεσθαι, πέμπεται πρὸς Φιλιππήσιον ἐν Περίνθῳ πόλει τῆς Θρᾴκης, ἣ νῦν Ἡράκλεια λέγεται, κἀκεῖθεν ἐπὶ τὸ Βυζάντιον στέλλεται, ἔνθα τὴν διὰ ξίφους λαβὼν ἀπόφασιν τὴν κεφαλὴν ἀφαιρεῖται. Καὶ τότε μὲν πρὸ μιλίου ἑνὸς τῆς πόλεως τίθεται· ὕστερον δὲ ἀνοικοδομηθέντος αὐτῷ ναοῦ παρὰ τοῦ μεγάλου Κωνσταντίνου, τῷ μεγέθει τῆς κατασκευῆς καὶ τῷ βάρει τῆς οἰκοδομῆς πολυτελοῦς καὶ ὑπερηφάνου, ἐν αὐτῷ μετετέθη. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ.

Crypt. Δ.α. XXIX = Cm, ff. 27v-29v
Crypt. Δ.α. XXX = Dh, ff. 73-78

* Synax. cfr. cd. Vat. gr. 787 = Vw, ff. 22-22v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀθλητικὸν Μώκιος ἤνυσεν δρόμον.
⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*

Ἀθλητικὸν
στέφανον ἐκ λόγων πλέξαντες,
τῷ ἱερεῖ καὶ μάρτυρι
πιστῶς προσάξωμεν,
ταῖς αὐτοῦ ἱκεσίαις
τοῦ πνεύματος τὴν χάριν
ἀντιλαμβάνοντες.

Θεοπτικῆς
χάριτος, ἔνδοξε Μώκιε,
ἀξιωθείς, τεθέασαι
Χριστοῦ μυστήρια,
ἃ ἐκήρυξας πᾶσιν
ὡς μύστης καὶ λειτουργὸς
αὐτοῦ ἐπάξιος.

Λύμην, σοφέ,
ἤλασας τῆς ἀθεότητος
ἐνθέοις λόγοις, Μώκιε,
καὶ τῇ τοῦ κτίσαντος
f. 28 ἐπιγνώσει ‖ ἀνθρώπους
ἰάτρευσας ὡς μάρτυς
καὶ θεῖος κῆρυξ αὐτοῦ.

Ἡ πυρφαὴς
ἄνωθεν αἴγλη τοῦ πνεύματος

tit. τοῦ ἁγίου ἱερομάρτυρος Μωκίου Cm Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε Cm
heirm. α' EE 37-38, n. 51, Cosmae

22-28 cfr. Act 2,1-4

ἐν σοὶ ἐπιδημήσασα,
πύρινον, Μώκιε,
ἱερέα καὶ μύστην
ἔδειξέν σε τῷ κόσμῳ
καὶ θεῖον μάρτυρα.

θεοτ. Γῆθεν ἡμᾶς
ἥρπασε πρὸς τὰ οὐράνια
ὁ σαρκωθείς, πανάχραντε,
ἐκ τῶν πανάγνων σου
καὶ ἀχράντων αἱμάτων,
θεοτόκον κυρίως
ἀεὶ ὑμνοῦντάς σε.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Τοῖς ἔργοις βεβαιῶν
τοὺς λόγους, Μώκιε,
τῆς θείας τοῦ Λόγου οἰκονομίας,
ὑπὲρ ταύτης καὶ ἐνήθλησας
καὶ νομίμων στεφάνων κατηξίωσαι.

Ἰσχὺν τοῦ δυνατοῦ
περιζωσάμενος,
γενναίως τῆς πλάνης τὰς παρατάξεις
ἐπολέμησας καὶ ἔτρεψας
καὶ βραβεῖα τῆς νίκης ἦρας, Μώκιε.

Κρατῆρος νοητοῦ
Χριστοῦ τῆς γνώσεως
ἐνθέως γευσάμενος, ἀθλοφόρε,
ποταμοὺς πᾶσιν ἀνέβλυσας
τοῖς ἀνθρώποις σοφίας τῆς τοῦ πνεύματος.

θεοτ. Ἐφαίδρυνας ἡμῶν
τὴν φύσιν, ἄχραντε,

heirm. γ' EE 39, n. 53, Cosmae 40 κατηξίωσε Cm

ἐλλάμψει τοῦ τόκου σου τοῦ ἀχράντου,
διὰ τοῦτο ἐγκαλλώπισμα
σὲ οἰκεῖον δοξάζουσα ἀγάλλεται.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Οἱ τῶν λόγων σου, Μώκιε,
θεῖοι κρουνοὶ καὶ ὄμβροι τῶν αἱμάτων
τὴν τῆς ἀσεβείας ὕλην κατέκλυσαν.

Νεουργῶν τῷ βαπτίσματι,
παλαιωθέντας, μάρτυς, ἀθεΐᾳ
ἀνθρώπους προσῆξας κυρίῳ, Μώκιε.

⟨M— — ´— — — ´— —
— — —´— ´— — — ´—
— ´— — ´— — — ´— ´ — —⟩

Ὡς ἀείφωτον, Μώκιε,
σὲ ἡ Χριστοῦ λαμπτῆρα δεξαμένη
f. 28v || ἐκκλησία, λόγοις τοῖς σοῖς φαιδρύνεται.

θεοτ. Ὡς πηγὴ ἀνεξάντλητος
οὖσα, ἁγνή, θαυμάτων ἀειρύτων
καὶ ἡμᾶς ἀρδεύοις τῇ ἐπισκέψει σου.

---

post oden γ' hoc κάθισμα praebet Dh:
heirm. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*
Ὁ περιβόητος παντὶ ἀθλοφόρος,
ὁ τὸν ἐχθρὸν ὁλοσχερῶς ταπεινώσας,
ὁ τοῦ πυρὸς τὴν βάσανον
ἐνέγκας καρτερῶς,
Μώκιος ὁ ἔνδοξος
ἐγκωμίοις τιμάσθω·
οὗτος γὰρ ὑπέμεινεν
ἀνυποίστους βασάνους,
ἐκτμηθεὶς τὴν κάραν πρὸς Χριστόν,
στεφανηφόρος
ἀνῆλθε γηθόμενος.

heirm. δ' MR I, 96 62-64 trop. littera M incipiens desideratur

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Κραταιωθεὶς ἐν Χριστῷ,
τοῦ πολεμήτορος ἐχθροῦ, Μώκιε,
τὰς μηχανὰς
καὶ ἐπαναστάσεις
ἐνίκησας ἀθλῶν,
ὑμνῶν ἀσιγήτως
τὸν σὲ ἐνισχύσαντα.

Ἰλὺν παθῶν ὑπεκδὺς
καὶ ἀπαθείᾳ κοσμηθείς, Μώκιε,
ἱερουργὸς
τοῦ Θεοῦ τῶν ὅλων
ἐδείχθης καθαρός,
ᾧ ὡλοκαυτώθης
πυρὶ τῆς ἀθλήσεως.

Ὁ τῶν χαρίτων δοτὴρ
σὲ τῶν θαυμάτων δωρεαῖς, ὅσιε,
ὡς ἀθλητὴν
γενναῖον καὶ μύστην
αὐτοῦ καὶ λειτουργὸν
ἐν τῇ ἐκκλησίᾳ
ἐνθέως ἐπήξατο.

θεοτ. Ῥώμην ἀεὶ κατ' ἐχθρῶν
τῶν ἀοράτων νοητῶν ἔχοντες
σὲ οἱ Θεοῦ
μητέρα ὑμνοῦντες,
τροπούμεθα, ἁγνή,
τὰς ἐπαναστάσεις
αὐτῶν καὶ βουλεύματα.

---

heirm. ε' EE 38, n. 51, Cosmae

ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Σωφροσύνης τοῖς ὅπλοις φραξάμενος,
πάθη τὰ ἀλλόφυλα κατεπολέμησας
καὶ κατ' αὐτῶν, ἀοίδιμε,
γενναιότητι τρόπαια ἔστησας.

Ἡ ὑπέρφωτος αἴγλη τοῦ πνεύματος
ἐν τῇ ἀθολώτῳ σου ψυχῇ οἰκήσασα,
φωστῆρά σε ἀνέδειξεν
ἐπὶ γῆς, ἱερώτατε Μώκιε.

Νομοθέτης καὶ κῆρυξ τῆς πίστεως
ἐν τῇ ἐκκλησίᾳ προστρέχων Χριστοῦ τοῦ Θεοῦ,
λαοὺς ἐχειραγώγησας
f. 29 πρὸ||ς αὐτόν, παναοίδιμε Μώκιε.

θεοτ. Γηγενεῖς τῇ ἀχράντῳ κυήσει σου
χάριτι γεγόναμεν, θεοχαρίτωτε,
υἱοὶ Θεοῦ, αἰτίαν σε
τῆς ἡμῶν σωτηρίας δοξάζοντες.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Ὑλώδη ζωὴν
ἀπωσάμενος, σοφέ, δι' ἐγκρατείας,

---

heirm. ϛ' EE 34, n. 46, Joannis
post oden ϛ' hoc κοντάκιον refert Dh:
heirm. κοντακ. *Ἠλιοὺ ἐμιμήσω*

Εὐσεβῶν ἐκ γονέων κληρονομήσας
ἀληθῆ τὴν Χριστοῦ διδασκαλίαν
καὶ Βυζαντίῳ λιπὼν ἐπεσφράγισας
πρὶν τοῖς σοῖς τρόποις
καὶ αὖθις τοῖς αἵμασιν,
ἱερομάρτυς Μώκιε·
διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν κύριον.

in margine eiusdem κοντακ. monogramma legimus α τ͂ ν (ω sub τ)
heirm. ζ' EE 39, n. 53, Cosmae

ἐν γῇ ὑπάρχων βίον ἄϋλον
καὶ πολιτείαν διήνυσας·
ὅθεν ὡς ἀσώματος πάσχων
ἐν τῇ ἀθλήσει ἐκραύγαζες·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Σαυτὸν ἀναθεὶς
ἀπὸ βρέφους τῷ Θεῷ, ἱερομύστα,
καὶ τῇ ἀγάπῃ τούτου, Μώκιε,
συνεκτρεφόμενος, ἔφθασας
εἰς ἀθλητικῶν παλαισμάτων
καὶ μαρτυρίου τελείωσιν,
« εὐλογητὸς εἶ », ἐκβοῶν,
« ὁ τῶν πατέρων Θεός ».

Ἐν γῇ τῇ σαρκί,
λειτουργὲ καὶ ἀθλητὰ τοῦ Θεοῦ Λόγου,
ἐνδιατρίβων τὴν διάνοιαν,
ἔσχες ἀεὶ θεῖον ἔρωτα
τὸν τοῦ βασιλέως τῆς δόξης,
ᾧ ἀσιγήτως ἐκραύγαζες·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Νεάζων, σοφέ,
τῇ ἀνδρείᾳ καὶ γενναίᾳ καρτερίᾳ
καὶ τῇ σοφίᾳ παλαιότατον
δεικνὺς τὸ φρόνημα, Μώκιε,
ἔργοις καὶ ἐν λόγοις ἐνθέοις,
τοῦ ἀρχεκάκου κατῄσχυνας
τὰς προσβολάς, ὑμνολογῶν
τὸν τῶν πατέρων Θεόν.

θεοτ. Ἰλύος παθῶν
ἐκκαθαίρουσα ἡμῶν τὰς διανοίας
ταῖς σαῖς πρεσβείαις, θεονύμφευτε,

---

122 v. om. Cm 138 v. om. Cm

ἁγνῶς ἡμᾶς καταξίωσον
δέξασθαι τὸ φῶς τὸ τοῦ υἱοῦ σου,
ἀκαταπαύστως κραυγάζοντας·
« εὐλογημένη σύ, ἁγνή,
f. 29v || ἐν γενεαῖς γενεῶν ».

ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Δρόμον ἀνύων εὐσθενῶς
τῆς ἀθλήσεως, σοφέ, εἰς τὰ ὀπίσω
τῇ ψυχῇ οὐκ ἐπεῖδες,
ἀλλ' εἰς τὸ πλήρωμα
τῶν πόνων καὶ ἀγώνων ἔφθασας,
Μώκιε, κραυγάζων·
« Χριστέ, εὐλογητὸς εἶ ».

Ῥώμη σὲ θρέψασα, σοφέ,
διδαχαῖς καὶ ἐντολαῖς τοῦ κορυφαίου,
πάσῃ τῇ οἰκουμένῃ
κήρυκα ἔπεμψεν,
ἀνθρώπους, Μώκιε, διδάσκοντα
Χριστὸν τῶν ἁπάντων
Θεὸν ἀεὶ δοξάζειν.

Ὅλως ἐξέστης τῷ Θεῷ
καὶ ἐν σώματι τελῶν, ἱερομύστα,
διὰ τοῦτο ἐλλάμψει
τοῦ θείου πνεύματος
ὀφθαλμοῖς διανοίας ἔβλεπες
ἀθέατον δόξαν
Χριστοῦ τοῦ ἀθλοθέτου.

θεοτ. Ὁ ἀπερίγραπτος υἱὸς
τοῦ πατρὸς καὶ συνεργὸς τεχθεὶς ἀσπόρως
ἐκ σοῦ, θεογεννῆτορ,
περιεγράφη σαρκὶ

heirm. η΄ EE 35, n. 47, Joannis

καὶ δεικνὺς ἀψευδῆ τὴν σάρκωσιν,
τιμᾶται ἐνθέως
γραφῇ τῇ ἐν εἰκόνι.

ᾠδὴ θ΄. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Μύρῳ τοῦ πνεύματος, πάτερ,
χρισθεὶς εἰς ἱερά,
ἀξίως ἐλειτούργησας αὐτῷ
τῷ κατ' ἀξίαν σὲ χρίσαντι
καὶ αὐτῷ ἱερεῖον
προσῆξας ἑαυτὸν ἀθλητικῶς,
πυρὶ ὁλοκαυτώσας,
Μώκιε παναοίδιμε.

Οἱ τῶν αἱμάτων σου θεῖοι
ποταμοί, ἀθλοφόρε,
τὰ λύθρα καὶ μιάσματα ἐκ γῆς
τὰ τῶν εἰδώλων ἀπέπλυναν
καὶ ὀσμὴν εὐωδίας
διέπνευσαν χαρίτων τοῖς πιστοῖς,
Μώκιε, τὸν δεσπότην
καὶ κτίστην μεγαλύνουσιν.

Νῦν ἐν σκηναῖς οὐρανίαις
αὐλιζόμενος, πάτερ,
σὺν πᾶσι λειτουργοῖς καὶ ἀθληταῖς
τοῦ ποιητοῦ καὶ σωτῆρος Χριστοῦ,
ὑπὲρ τῶν σὲ τιμώντων
ἱκέτευε αὐτὸν ὡς ἀγαθός,
ἵνα τύχωμεν δόξης
αὐτοῦ καὶ θείας χάριτος.

heirm. θ΄ EE 34-35, n. 46, Joannis

191-198 cfr. Eph. 5,2 199-202 cfr. Hebr. 8,2

θεοτ. ⟨῾Υ — — ´— — — ´— – –
— — ´— — — ´— —
´— — — — ´— — ´— — —
— — ´— — ´— — — ´—
´— — — ´— —
— ´— — — — ´— — — — — ´—
— — — ´— — — ´— —
— ´— — — — ´— – – —⟩

207-214 θεοτ. deest in Cm lacerationis causa folii. In suum locum hanc stropham A. Rocchi transtulit:

῾Υπὸ τὴν σὴν προστασίαν
καταφεύγω, παρθένε,
πάσας τὰς ἐλπίδας θέμενος
ἐπὶ σέ, προστάτις μονῆς·
ὅ,τι γὰρ βούλῃ
καὶ δύνασαι ἐντεύξει πρὸς υἱόν·
ὅθεν ἡμέραν καὶ νύκτα
ἡμεῖς σὲ μεγαλύνομεν.

IN DIEM CONSTANTINOPOLEOS CONDITAE ET IN SANCTUM MOCIUM

Synaxarium, 673-674: Ἡ ἀνάμνησις εὐδοκίᾳ Θεοῦ πνευματικῶς ἐπιτελεῖται τοῦ γενεθλίου ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως τῆς ἐξαιρέτως ἀνακειμένης τῇ προστασίᾳ τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ὑπ᾿ αὐτῆς διὰ παντὸς σωζομένης, ὅτε τὴν τοῦ Βύζαντος πόλιν ὁ μέγας ἐν βασιλεῦσι καὶ χριστιανικώτατος Κωνσταντῖνος παραλαβὼν καὶ κτίσας πολλῷ μείζονα καὶ εἰς τὸ αὐτοῦ ὄνομα τὴν κλῆσιν αὐτῆς μεταμείψας, ἀντὶ Βυζαντίου Κωνσταντινούπολιν ὠνόμασε. Μετὰ τὸ συμπληρῶσαι τό τε τεῖχος καὶ τὰς ἐν αὐτῇ οἰκήσεις καὶ τὰς ἱερὰς ἐκκλησίας, ἀναθεὶς ταύτην τῇ ὑπερενδόξῳ δεσποίνῃ ἡμῶν Θεοτόκῳ καὶ ἀειπαρθένῳ, κατεξαίρετον εὐχαριστῶν ἅμα τῷ ἁγιωτάτῳ πατριάρχῃ καὶ τῷ κλήρῳ καὶ τῷ λαῷ λιτανεύσας ἀνῆλθεν ἐν τῷ φόρῳ, ἐν ᾧ τὴν αὐτοῦ στήλην οἱ πολῖται ἀνέστησαν φέρουσαν τοὺς ἁγίους τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἥλους ἐν τῇ κεφαλῇ, οὗ κάτωθεν κεῖνται οἱ δώδεκα κόφινοι τῶν περισσευσάντων κλασμάτων τῶν ἄρτων· ἔκτοτε οὖν παραλαβοῦσα ἡ ἐκκλησία ἑορτάζει ἕως τοῦ νῦν.

Mess. gr. 121 = Mh, ff. 166-168

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Ἀγάλλεται σήμερον
ὁ σὸς λαὸς τῆς σῆς πόλεως
ἑορτὴν γενέθλιον
πανηγυρίζων, σωτήρ·
ἣν περίσωζε
ποικίλων ἐκ κινδύνων,
βαρβάρων ἁλώσεως,
λιμοῦ, λοιμοῦ καὶ σεισμοῦ.

---

tit. Τοῦ γενεθλίου τῆς Πόλεως καὶ τοῦ ἁγίου Μωκίου
heirm. α' EE 99, n. 141, Joannis

Θεμέλιον ἄρρηκτον
σὲ κεκτημένη καὶ φύλακα
καὶ τεῖχος ἀπόρθητον
ἡ βασιλεύουσα
πόλις, δέσποτα,
ἐν σοὶ τῆς σωτηρίας
ἐλπίδας ἀνέθετο
καὶ συντηρεῖται ἀεί.

* Πρὸς πλάτος, μακάριε,
τῶν σῶν ἐπαίνων κυβέρνησον
νοός μου τὴν στένωσιν
καὶ φῶς κατάπεμψον
τῇ καρδίᾳ μου,
ὑμνοῦντος τὴν φωσφόρον
καὶ ἔνδοξον μνήμην σου,
μάρτυς πανεύφημε.

θεοτ. * Χαρᾶς ἡμῖν πρόξενος
ὡς δεξαμένη τὸ πλήρωμα
τῆς ὅλης θεότητος
ὤφθης, πανάμωμε·
ὅθεν πάντες σοι
τὸ « χαῖρε » τοῦ ἀγγέλου
συμφώνως κραυγάζομεν,
θεοχαρίτωτε.

ᾠδὴ γ'. *Οὐκ ἐν σοφίᾳ*

Ἐν ταῖς χερσί σου
ἐζωγράφηται τείχη τῆς πόλεως,
ἣν ἐπύργωσας βαλὼν

17-24 trop. MR V, 78   19 στένωσιν | χαύνωσιν MR   22 ὑμνοῦντι ed.
24 μάρτυς om. ed.   25-32 θεοτ. MR V, 79
heirm. γ' EE 96, n. 136, Joannis

33-38 cfr. Is. 49,16-17

εἰς τὰ θεμέλια ταύτης σαυτὸν
ὡς λίθον ἀκρόγωνον,
ἄρρηκτον, δέσποτα.

Οὐκ ἐν τείχεσιν,
οὐκ ἐν ὅπλοις, οὐχ ἵπποις, οὐχ ἅρμασιν
ἐγκαυχᾶται, ἀλλ' ἐν σοὶ
f. 166v τῷ κραταιῷ ‖ ἡ σὴ πόλις, σωτήρ·
ἐν σοὶ γὰρ κρατεύεται
καὶ διαμένει ἀεί.

* Ἀνενδοιάστως
πρὸς ἀγῶνας, πρὸς πάλας ἐχώρησας,
τῇ δυνάμει τοῦ σταυροῦ
τὸ ἀσθενές σου ῥωννύμενος·
ὅθεν τὸν μεγάλαυχον
ὄφιν κατέβαλες.

θεοτ. * Σὲ ἡ σοφία
τοῦ Θεοῦ καθαρώτατον σκήνωμα
εὑραμένη, ἐκ τῶν σῶν
ἁγνῶν αἱμάτων σεσάρκωται
καὶ μετὰ τὴν κύησιν
ἄφθορον ἔδειξεν.

ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*

Ἀνυψώσας ὑπὲρ πᾶσαν
δι' ἁπάντων ἐδόξασας,
κράτος βασιλείας
ὡς παμβασιλεὺς περιθέμενος·
σὴν μεγαλόπολιν, Λόγε,
ἑορτάζουσαν
τὴν γενέθλιον νῦν ἑορτὴν
ἐπευλόγησον.

45-50 trop. MR V, 79   51-56 θεοτ. MR V, 79
heirm. δ' EE 95, n. 135, Joannis

Ποταμοῦ τοῦ νοουμένου
ζωηφόροις ὁρμήμασιν
εὔφρανον τὴν πόλιν σου,
σῶτερ, ἣν αὐτὸς ἐκλεξάμενος
ἐν μέσῳ ταύτης κατοικεῖς·
ἣν ἀσάλευτον
εἰς αἰῶνας φυλάττεις τὰς σὰς
συντηρεῖν ἐντολάς.

* Δερματίνους τοὺς χιτῶνας
παλαιᾶς τῆς νεκρώσεως
ἐξεδύσω, μάκαρ,
πάντοθεν τὸ σῶμα ξεόμενος,
καταστολὴν ἀφθαρσίας
ἐνεδύσω δὲ
καὶ τρυφᾶς τοῦ ξύλου τῆς ζωῆς
ἀγαλλόμενος.

θεοτ. * Ὁ θελήματι τὰ πάντα
πλαστουργήσας, βουλήματι
ἐκ τῶν σῶν αἱμάτων
σάρκα ἑαυτῷ ᾠκοδόμησεν·
ἐν δυσὶ ταῖς οὐσίαις
εἷς προέρχεται,
μητροπάρθενε, σῴζων ἡμᾶς
ἀγαθότητι.

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

Κυκλώσατε, λαοί,
f. 167 νῦν τὴν νέαν Σιὼν ἐν χα||ρᾷ,
γενέθλιον ἐκτελοῦντες

69 κατοίκης (sic) 70 ἣν 73-80 trop. MR V, 79 73 Τὸν δερμάτινον χιτῶνα MR 74 τῆς ἀρχαίας νεκρώσεως MR 81-88 θεοτ. MR V, 80 82 πλαστουργὸς διεσώσατο cd. 85 καὶ ἐν cd. 86 ἧς cd.
heirm. ε΄ EE 94, n. 133, Joannis

65-72 cfr. Ps. 131,13 89-93 cfr. Ps. 47,13

ἑορτὴν καὶ ὑμνοῦντες,
τὸν ταύτην στερεώσαντα.

Σύ, δέσποτα, τὴν σὴν
περιτείχισον πόλιν λιταῖς
ἀλήκτοις τῆς σὲ τεκούσης,
ἐκ κινδύνων παντοίων
τηρῶν αὐτὴν ἀνάλωτον.

* Σὲ σθένος κραταιὸν
πρὸς ἐχθρὸν τὸν ἀόρατον
ὁ μάρτυς σου κεκτημένος,
τὴν ἀνίσχυρον τούτου
ἰσχύν, Χριστέ, κατέβαλεν.

θεοτ. * Φῶς ἄχρονον ἡμῖν
τοῦ πατρὸς τὸ ἀπαύγασμα
γεγέννηκας ὑπὸ χρόνον
ἀγαθότητος πλούτῳ
γενόμενον, πανάμωμε.

ᾠδὴ ς΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Στεφάνῳ
εὐλογίας στεφάνωσον, δέσποτα,
τὴν πόλιν ἣν ἐξελέξω
καὶ τὸν τὴν γενέθλιον νῦν τελοῦντα
πανήγυριν
λαὸν κληρονομίᾳ σου σῶζε φθορᾶς.

Ἡ πόλις
βασιλέως τοῦ πάντων δεσπόζοντος

99-103 trop. An, νδ΄ 101 οἱ μάρτυρες κεκτημένοι An 103 κατέβαλον An 104-108 θεοτ. MR V, 80
heirm. ς΄ EE 94, n. 133, Joannis

109-114 cfr. III Regn. 11,13 115-120 cfr. III Regn. 11,13

τειχιζομένη ἐν τούτῳ
καὶ τῆς βασιλείας κρατυνομένη
ἐν τοῖς σκήπτροις
νῦν γενέθλιον ἄγει λαμπρῶς ἑορτήν.

* Ἀγάπῃ
καὶ ἐλπίδι καὶ πίστει καθώπλισεν
ἀγωνοθέτης ὁ μέγας
τὸν στερρὸν ὁπλίτην τῆς εὐσεβείας·
διὰ τοῦτο
τὸ τῆς πλάνης καθεῖλεν ὀχύρωμα.

θεοτ. * Ἄβυσσον
εὐσπλαγχνίας Χριστὸν ἡ κυήσασα
ἁμαρτιῶν ἐκ βυθοῦ με
συμπαθὴς ὡς μόνη ἀνάγαγε
καὶ ἐκ ζάλης
λογισμῶν ἐναντίων διάσωσον.

ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

Ἡ βασιλεύουσα πασῶν
πάσας συγκαλεῖται τὰς πόλεις
συνεορτάσαι μυστικῶς
τὴν γενέθλιον ταύτην πανήγυριν
f. 167v καὶ συμ || φώνως ὑμνῆσαι Χριστόν,
τὸν αὐτὴν θεμελιοῦντα
εἰς τοὺς αἰῶνας.

Δεδοξασμένα περὶ σοῦ,
πόλις τοῦ Θεοῦ, ἐλαλήθη·
ἐθεμελίωσέ σε γὰρ
ἐπὶ πέτραν ἑδράσας ὁ ὕψιστος

---

119 ἐν τοῖσκήμπτροις 121-126 trop. MR V, 80 127-132 θεοτ. MR V, 80 130 συμπαθείας cd. 131 ζάλης] βλάβης MR
heirm. ζ' EE 101, n. 142, Cosmae

140-146 Ps. 86,1-3

καὶ τὰς πύλας τὰς σὰς ἀγαπᾷ
ὑπὲρ πάντα τὰ σκηνώματα
γῆς ἁπάσης.

* Ἐν τῇ καμίνῳ ἐμβληθεὶς
εὕρηκας δροσίζοντα Λόγον
τὸν ἐν μορφῇ ἀγγελικῇ
νεανίας τοὺς τρεῖς διασώσαντα,
ἐκβοῶν, παμμακάριστε·
« ὁ Θεὸς ὁ τῶν πατέρων
εὐλογητὸς εἶ ».

θεοτ. * Σὲ τὴν ἀθάνατον πηγήν,
ὕδωρ τῆς ἀφέσεως μόνην
τὴν ἀναβλύσασαν ἡμῖν
Ἰησοῦν τὸν σωτῆρα, ἀειπάρθενε,
ἀνυμνοῦμεν, κραυγάζοντες·
« ὁ Θεὸς ὁ τῶν πατέρων
εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Ὁ θεμελιώσας ἐφ' ὑδάτων
τὴν γῆν καὶ τὸν οὐρανόν, ὁ στερεώσας Χριστὸς
πόλιν ἣν ἐκτήσατο,
εἰς κατοικητήριον
αὐτὸς ἐθεμελίωσεν
εἰς τὸν αἰῶνα καὶ νῦν
τοῖς ταύτης γενεθλίοις βραβεύει
θείαν εὐλογίαν
αὐτοῦ τὴν πολιτείαν.

147-153 trop. MR V, 81 148 εὗρε σε cd. 154-160 θεοτ. MR V, 81 156 τὴν ἀναβλύσασαν] ἀποκυήσασαν MR 157 σωτῆρα] Χριστὸν MR 159-160 vv. om. cd.
heirm. η' EE 100, n. 141, Joannis 164 κατοκητίριον cd.

147-153 Dan. 3,49-50 161-162 Gen. 1,1-10

Πόλις τοῦ μεγάλου βασιλέως,
τῶν πόλεων ἁπασῶν ἡ ὑπερέχουσα
χόρευε, γενέθλιον
ἄγουσα πανήγυριν,
τὸν σὲ θεμελιώσαντα
καὶ ἀνυψώσαντα
ὡς κύριον τῆς δόξης ὑμνοῦσα
καὶ ὑπερυψοῦσα
εἰς πάντας τοὺς αἰῶνας.

* Πορφύραν οἰκείων ἐξ αἱμάτων
φοινίξας καὶ ταύτην περικείμενος,
φέρων ἀντὶ σκήπτρου τε
ὅπλον τὸ ἀήττητον,
συμβασιλεύεις, Μώκιε,
τῷ βασιλεῖ τοῦ παντός,
« τὸν κύριον ὑμνεῖτε », κραυγάζων,
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Ἐν σοὶ καθωράθησαν πορεῖαι
f. 168 μεγάλου τοῦ βασι||λέως τῶν δυνάμεων,
πύλη ἐπουράνιε,
κόρη ἀπειρόγαμε,
ἡ τῶν βροτῶν τὸ φύραμα
ἀποθεώσασα·
διό σε τὴν παρθένον ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Πόλιν οἰκουμένης ὀφθαλμόν,
ἑῴας καὶ ἑσπερίου οἷον σύνδεσμον
κράτιστον γῆς τε καὶ θαλάσσης,

178 v. om. 179-187 trop. MR V, 81 181 σκέπτρου cd. 186-187 vv. om. cd. 188-196 θεοτ. MR V, 81-82 195-196 vv. om. cd.
heirm. θ' EE 98, n. 139, Joannis et Stephani

εἰς ἣν τὰ πανταχόθεν συντρέχουσιν
γῆς ἄκρα, ⟨πανταχ⟩όθεν τε ἄρχοντες
στήριξον, σῶτερ, καὶ κραταίωσον.

Ἣν ἐθεμελίωσας βουλῇ,
προνοίᾳ σου καὶ χειρί σου, σῶτερ, ὑψώσας
πόλιν βασίλειον, συντηρήσῃ
ἐξ ἐχθρῶν, ἐκ πολεμίων ἀπόρθητον,
λιμοῦ, λοιμοῦ, σεισμοῦ καὶ πυρὸς ἀπειλῆς,
πάσης τε βλάβης ἀνεπίβουλον.

* Ὄλβιος καὶ πλήρης ἡμερῶν
γενόμενος καὶ τῷ πάθει σεμνυνόμενος,
ἔνδον ἐχώρησας παστάδος
φρονίμοις σὺν παρθένοις γηθόμενος
καὶ κάλλος κατανοεῖς τὸ ἀμήχανον,
οὗ τὰς ἐμφάσεις ἐμυήθης τρανῶς.

θεοτ. * Ῥήμασιν ἑπόμενοι τοῖς σοῖς
ἑκάστοτε σέ, παρθένε, μακαρίζομεν·
Λόγον ἡμῖν γὰρ ἀπορρήτως
πατρὸς τὸν πρὸ αἰώνων ἐκλάμψαντα
ἐγέννησας, αὐτὸς ὡς εὐδόκησεν·
ὃν ἐπαξίως μεγαλύνομεν.

201 contra ὅθεν codicis, scripsi πανταχόθεν metri et sensus causa
206 ἐξ] ἐκ 209-214 trop. MR V, 82 209 ἡμερῶν] φωτισμοῦ MR
212 φρονίμως cd. 214 ἐμυήθης τρανῶς] πρὶν ἐκέκτησο MR 215-220 θεοτ.
MR V, 82 216 ἑκάστοτε ὦ παρθένε σὲ δοξάζομεν MR 219 αὐτὸν cd.

209-214 Matth. 25,1-11.

IN SANCTUM PHILIPPUM ARGYRIENSEM

Synaxarium, 680*: Τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλίππου τοῦ Ἀργυρίου.

Crypt. Δ.α. IX = Cl, ff. 58v-61v
Crypt. Δ.δ. II = De, ff. 65v-70
Vat. gr. 1853 = Wm, ff. 118v-123
Barber. gr. 373 = Bm, ff. 81-85

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Φίλιππον ὕμνοις τὸν τρισόλβιον στέφω.

f. 59 ‖ Ἦχος δ'.

ᾠδὴ α'. *Ἔσχισας πέλαγος*
τὸ ἐρυθραῖον ὁ Θεὸς
καὶ Φαραὼ ῥίψας ἐν αὐτῷ,
διεβιβάσω Μωσέα
ἀβρόχως ἐν ἐρήμῳ
καὶ ἐχορήγησας μάννα εἰς βρῶσιν
τῷ λαῷ τοῦ Ἰσραὴλ ὡς δυνατός.

Φίλιππον σήμερον,
δεῦτε πιστοί, τὸν ἱερὸν
ᾀσματικῶς ἅπαντες ᾠδαῖς

(*) Synax. selecta 680[28].

tit. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐπιφανίου ἀρχιεπισκόπου Κύπρου καὶ τοῦ ἁγίου Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τοῦ ἁγίου Φιλίππου τοῦ Ἀργυρίου Cl   τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλίππου τοῦ ἀργυ⟨ρίου⟩ Bm   Ἀφ' ἑσπέρας κανών..... Cl   acr. om. Bm

heirm. α' EE 105, n. 148, Andreae, datur ut heirmus odes β'   3 τὸν Φαραὼ βυθίσας ἐν αὐτῷ EE Bm   4 διαβιβάσας EE Bm   6 καὶ ἐπομβρήσας τὸ μάννα εἰς βρῶσιν EE Bm   1-7 contra acrostichiden haec trop. referunt Wm Bm:

Ἅπαντες σήμερον,
δεῦτε, πιστοί, τὸν ἱερὸν
ᾀσματικῶς Φίλιππον ᾠδαῖς
ἀνευφημήσωμεν πόθῳ,
ἵνα (= ἵν' Bm) ὅπως ταῖς πρεσβείαις
αὐτοῦ ῥυσθῶμεν ἐκ πάσης ἀνάγκης
καὶ τρυφήσωμεν τὴν θείαν ἐδωδήν.

ἀνευφημήσωμεν, ὅπως
ταῖς τούτου ἱκεσίαις
ἐκλυτρωθῶμεν παντοίας ἀνάγκης
καὶ τρυφήσωμεν τῇ θείᾳ ἐδωδῇ.

Ἴθυνε τέξασα
μήτηρ ἡ σὴ πρὸς τὸν Θεόν,
πάτερ, ὡς πρὶν Ἄννα Σαμουήλ,
ὃν πρὸ συλλήψεως ᾔτει,
εἰ λάβοι ἀναθήσειν
τῷ παντεπόπτῃ τῶν ὅλων πρὸς δόξαν
καὶ ἀνάπαυσιν κροτάφων τῶν αὐτῆς.

Λόγοις πεπαίδευκε
σὲ ἱεροῖς τὸν ἱερόν,
μᾶλλον μὲν οὖν ἔργοις τῶν αὐτῆς
κατορθωμάτων, παμμάκαρ,
Αὐγία ἡ θεόφρων,
ἱερομύστα κυρίου, καθάπερ
Ἐλισάβετ τοῦ Χριστοῦ τὸν βαπτιστήν.

θεοτ. Λάτρας σου, δέσποινα,
ῥῦσαι πρεσβείαις τῶν δεινῶν·
τὸν γὰρ Θεὸν τέτοκας σαρκί,
δίχα σπορᾶς ἀπορρήτως

Φίλιππος ἥλιος
ὥσπερ ἀνέτειλεν ἐν γῇ
ἐξ οὐρανῶν δύο νοητῶς (= νοητῶν Wm)
ὁ ἱερώτατος ὄντως
τοῦ φύσαντος καὶ θείας
τῆς φερωνύμου Αὐγίας τεκούσης
ἀγλαΐζων (= ἀγλαΐζει De) τοὺς ἐν σκότει καὶ σκιᾷ.

hoc trop. ut primum in De refertur; ut secundum in Bm   8-21 trop. om. Bm   9 ἡ ἱερὰ τὸν Σαμουὴλ De Wm   10 καθάπερ Ἄννα δοῦσα τῷ Θεῷ De Wm   12 λαβοῦσα ἀναθήσῃ De   13 τῶν ὅλων | καὶ γνώστῃ Wm   πρὸς | εἰς De   15 ἐπαίδευσεν De   16 σὲ ἱεροῖς | ἡ ἱερὰ De Wm   17-21 vv. om. Wm   17 ἀλλὰ τοῖς ἔργοις πλέον τῶν αὐτοῦ De   18 κατα⟨λα⟩μπρύνασα ὤφθη De   19 ἱερομήτωρ καθάπερ ἡ θεία De

8-14 AA.SS. Maii III (1680) 1* § 4: Ἦν δὲ τὸ παιδίον συνετὸν σφόδρα, καὶ ἀποκείρασα αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐκλήρωσεν αὐτὸν τῇ Ἐκκλησίᾳ.

8-14 I Regn. 1,2-28   15-21 Luc. 1,57-66

καὶ δύνασαι ὡς μήτηρ
ἐξιλεοῦσθαι καὶ σώζειν, παρθένε,
ἐκ παντοίων πειρασμῶν ἡμᾶς ἀεί.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἱερωμένος, μάκαρ, τῷ κυρίῳ
εἰς Ῥώμην πλεῦσαι ᾔτησας,
ταῖς προσευχαῖς δὲ τοῦ σοῦ πατρὸς
ὁ σκοπὸς τελεῖται τάχει
καὶ διανύεις, ὅσιε,
πορείαν ἣν ἐπόθησας.

Πεπυρωμένην ἔχων τὴν καρδίαν
τῷ πόθῳ τῷ πρὸς κύριον,
ἦρας ἐπ' ὤμων εἰλικρινῶς
τὸ τρισόλβιον σημεῖον
καὶ πρὸς τὴν Ῥώμην ἔσπευσας
τυχεῖν σου τῆς ἐφέσεως.

Ποίους ἐπαίνους πλέξωμέν σοι, μάκαρ,
ὅτι τὴν ἀγριαίνουσαν
οἷα μαινάδα ταῖς ἀπειλαῖς

---

28 ἀεὶ] ἁγνὴ De Wm
heirm. γ' EE 104, n. 147, Andreae 33 διανύσας De 36 Λευῖτα πρὸς τὸν κύριον De Wm Bm 37 ἐπ' ὤμων ἄρας De Wm Bm 39 ἐπὶ τὴν Ῥώμην ἔπλευσας De καὶ πρὸς] ἐπὶ Wm Bm εὔσπευσας Cl 41-46 trop. om. Bm 43 ἀπειλαῖς] ἀρεταῖς De Wm

---

29-34 AA.SS. 2* § 5: Ὁ δὲ Θεοδόσιος ἰδὼν τὸν πρὸς Θεὸν ἀμετάθετον πόθον τοῦ παιδός, κρατήσας αὐτὸν τῆς χειρὸς καὶ εὐξάμενος αὐτῷ τῇ Συριακῇ διαλέκτῳ, βλέπων κατὰ ἀνατολάς, ἀφθέγξατο οὕτως· Ὁ Θεὸς τοῦ Ἀβραάμ..... Καὶ ἀσπασάμενος αὐτόν, ἀπέστειλεν αὐτὸν λαθρέως τῆς αὐτοῦ μητρός, μὴ θαρρήσας αὐτῇ τι περὶ τούτου.

41-46 AA.SS. 2* § 6: ..... Καὶ ἐπανιστᾶται αὐτοῖς κλύδων τρικυμίας θαλάσσης. Καὶ στὰς ὁ Φίλιππος, λέγει· Κύριε ὁ Θεός, ... Καὶ πάραυτα ἐγένετο γαλήνη μεγάλη, καὶ διεσώθησαν πάντες τῇ πρεσβείᾳ τοῦ Ἀποστόλου.

41-46 Matth. 8,23-27

κατεστόρεσας, θεόφρον,
θάλασσαν καὶ διέσωσας
εὐχαῖς σου τοὺς συμπλέοντας.

f. 59v || Ὃν ἐκ ψυχῆς ἐπόθεις, θεοφόρε,
ἰδεῖν αὐτός σε πέφθακε
καὶ προσκαλεῖται πρὸς ἑαυτὸν
ἀπολαῦσαι ἀκινδύνως,
καὶ εἰς γαλήνην ὤφθησαν
θαλάσσης κλυδωνίσματα.

θεοτ. Ὃν ἐν σαρκὶ ἀρρεύστως, παναγία,
οὐσίαις δύο τέτοκας,
ὑπὲρ ἡμῶν, δέσποινα, τῶν σῶν
ἐκτενῶς δυσώπει δούλων,
ἡ πρὶν παρθένος πέλουσα
καὶ πάλιν μετὰ κύησιν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τῷ φαεινῷ σου βίῳ*

Ἀγγελικῆς ἀξίας
τὴν χάριν δεξάμενος,

---

44 κατεκόσμησας De κατεστόλισας Wm 46 πλέοντας De 47-52 trop. om. De Bm 47 ἐκ ψυχῆς] δρομικῶς Wm 51 εἰς] πρὸς Wm 52 ζεούσης τὰ ἐμπτύσματα Wm 53 Ὃν] ὁ De ἀρέστως De κύησιν] γέννησιν Bm κάθ. ante canonem praebet De
heirm. καθ. AK II, 45 pro hoc κάθ. aliud praebet Wm:
ἦχος α' ⟨Εἱρμὸς⟩ *Χορὸς ἀγγελικὸς*
Ὡς χάριν ἐκ Θεοῦ
εἰληφὼς τῶν θαυμάτων,
διώκεις, ἱερεῦ,
τῶν νοσούντων τὰ πάθη·

47-50 AA.SS. 2* § 7: ..... αὖθις κατὰ θείαν οἰκονομίαν ἀποκαλύπτεται τῷ Πάπᾳ· καὶ ἀποστείλας ἕνα τῶν διακόνων, λέγει αὐτῷ· Ἄπελθε ἐπὶ τὰ εὐώνυμα τοῦ ναοῦ, καὶ εὑρήσεις διάκονον φοροῦντας φελόνιον σὺν ἑτέρῳ μοναχῷ, κάλεσον αὐτὸν λέγων· ξύνελθε ἡμῖν ἐν τῇ ἐκκλησίᾳ καὶ συλλειτούργησον.

51-52 Matth. 8, 26-27

τῇ τοῦ Θεοῦ τραπέζῃ
ἀξίως παρίστασαι,
ὦ Φίλιππε ἱερομάκαρ·
ὅθεν πιστῶς
αἰτοῦμέν σε λέγοντες·
πρέσβευε ὑπὲρ ἡμῶν
τῶν εὐφημούντων ἐν πόθῳ τὴν μνήμην σου.

ᾠδὴ δʹ. *Ἐν μέσῳ δύο ληστῶν*

Νέος Ἠλίας, σοφέ,
ἐδείχθης ταῖς ἀρεταῖς ἐνθέως βιῶν
καὶ ἐπήρθης ἐν ἅρματι θείῳ,
τῶν μολυσμῶν μὴ φέρων παντελῶς βασταγμόν,
κοῦφος δ' ἐποχούμενος.

Υἱοθεσίας λαβὼν
τὴν χάριν, θεοπρεπὲς ἐγένου σαφῶς
σκεῦος φέρον θεόβρυτον νάμα
καὶ τοὺς διψῶντας, μάκαρ, τὴν εὐσέβειαν
f. 60 ἔπλησας, ‖ ἀοίδιμε.

ἰάτρευσον δεόμεθα
καὶ ἡμῶν τὰ νοσήματα
πάντων, ἅγιε,
τὰ τῶν ψυχῶν καὶ σωμάτων,
τῶν τελούντων σου
τὴν ἱερὰν καὶ τιμίαν
μετάστασιν, ἅγιε.

1 Ἀγγελικῆς] Λευϊτικῆς De Bm 5 ὦ om. De Bm 6 ὁ τοῦ Χριστοῦ Bm 7 θεράπων πιστότατας Bm αἰτοῦμεν] ὑμνοῦμεν De εὐφημούντων] ἑορταζόντων Bm post κάθ. sequitur in Cl κάθ. in honorem sancti Germani
Ἐξανοίξας τὸ στόμα
λόγῳ Θεοῦ MR III, 14

heirm. δʹ EE 104, n. 147, Andreae 60 ἀρεταῖς σου ἐνθέως μολὼν De βιῶν] μολὼν Wm Bm 61 ἐπήρθης] ὑψώθης De Wm Bm 62 τοῦ μολυσμοῦ Wm παντελῶς] οὐδαμῶς De Wm βασταγμὸν οὐδαμῶς Bm 63 δ' om. Bm 64 υἱοθεσίαν De 65 θεοπρεπῶς De Wm παρὰ Θεοῦ Bm σαφῶς] σοφὲ De Wm Bm 68 ἔμπλησας De

---

59-63 IV Regn. 2,11-12

Μόνον ἐφάνης ὡς φῶς
ἐν Ῥώμῃ, σοφέ· εὐθέως εὗρέ σε
ὁ ποιμὴν τὸν ποιμένα, ὁ πύργος
τὸν τῆς ἁγνείας στῦλον καὶ τραπέζης Χριστοῦ
μύστην ἀναδείκνυσιν.

Νεύματι θείῳ τρανῶς
τὴν γλῶτταν ἐπαρθρωθείς, ἐβόας, σοφέ,
τὴν εἰρήνην λατίνι κηρύττων,
τῇ προσφωνήσει δείξας πρακτικά σου σαφῶς
καὶ τὰ θεωρήματα.

θεοτ. Νύμφη, παστὰς καὶ σκηνὴ
καὶ θρόνος καὶ οὐρανὸς καὶ ἄβυσσος
καὶ σφραγὶς καὶ ἀκράδαντον τεῖχος
ἀναδειχθεῖσα, κόρη θεανδρότοκε,
φρούρει τοὺς τιμῶντάς σε.

ᾠδὴ εʹ. *Ἀνάτειλόν μοι, κύριε,*

Ὁσίως ἐκελάδησας,
παμμάκαρ, θεῖα λόγια·
διειργουμένη γὰρ οὐ πέφυκεν
ἡ εὔλαλός σου γλῶττα,
εἰ καὶ πρὶν ἐφαίνετο
ἑτερογλωττίζουσα
πατρικαῖς ταῖς διδαχαῖς.

69-73 trop. om. Bm 69 ὡς φῶς] σοφὲ De Wm 70 τὴν ῥάβδον κρατῶν εὗρέν σε De ἐν πόλει τῇ ῥαϋδοκράτορ εὗρέ σε Wm 71 τὸν ποιμένα, ὁ πύργος] τῶν ποιμένων ὁ μέγας De 72 Χριστοῦ | εὐθὺς De Wm 73 μύστης ἀναδέδειξεν Wm ἀναδείκνυσιν | ἀναδέδιχεν De 74-78 trop. om. De 75 ἐπαρθρώθεις Wm 76 λατίνην Wm 77 πρακτικῷ σου σοφὲ Wm 80 θρόνος] ἄνθος De Bm ἄβυσσος] θρόνος Θεοῦ Bm 81 ἀκράδαντος Wm 83 ὑμνοῦντάς σε Bm
heirm. εʹ EE 106, n. 149, Andreae
88 ἐφαίνετο | ἐφθέγγετο Bm

74-78 AA.SS. 2* § 8: Καὶ παραυτὰ πῦρ ἐξελθὸν ἐκ τῆς γλώττης τοῦ Πατριάρχου, ἥψατό μου τῶν χειλέων, καὶ ἐφάνην τοῖς πᾶσιν συντυγχάνων Ῥωμαϊκοῖς ῥήμασιν.
84-90 AA.SS. 2* § 7: Οὐκ ἦν δὲ ἐπιστάμενος τῇ ῥωμαϊκῇ διαλέκτῳ λέξαι ῥῆμα, ... συγχώρησιν ποίησον, Δέσποτα, τῷ δούλῳ σου, ἐπεὶ οὐκ ἐπίσταμαι τῇ ῥωμαΐδι γλώττῃ λέξαι ῥῆμα ἓν καὶ μόνον.

Ἰδὼν τὸ ἀμετάθετον
ἐνθέως σοῦ τοῦ ἔρωτος
ὁ πατριάρχης διαγράφει
ἐν τόμῳ θεολέκτους
διδαχάς, ἀοίδιμε,
καὶ χερσὶ παρέθετο
σοῦ πρὸς μνήμην ἐναργῆ.

Σωμάτων οὐ πεφρόντικας,
ψυχῶν δὲ μάλα, ὅσιε·
ἐκ γὰρ τῆς πλάνης τοῦ δολίου
τὸ γένος τῶν ἀνθρώπων
τῇ δυνάμει σέσωκας
τοῦ ἁγίου πνεύματος
καὶ προσήφερες Θεῷ.

Τὴν ζάλην, πάτερ, πέφευγας
τοῦ βίου καὶ εὐπρόθυμος
ἐπὶ τὸ ὄρος τῶν ἐνθέων
ἀρετῶν παρεγένου,
καὶ ἐκεῖ ἑώρακας
ἃς ποθῶν ἐζήτησας
ἀναβάσει τοῦ νοός.

θεοτ. Τὴν μόνην ἀπειρόγαμον
ὑμνήσωμεν ἐν ᾄσμασιν,
ὅπως ῥυσθῶμεν ἐκ κινδύνων
ταῖς αὐτῆς ἱκεσίαις,
οἱ πιστῶς δοξάζοντες
Ἰησοῦν καὶ κύριον,
τὸν ἐν φύσεσι διπλοῦν.

92 ἐνθέου De Wm 93 διαγνάφει Wm 94 θεολέκτῳ De Bm 95 διδαχαῖς Bm 97 σοῦ] σαῖς De Wm Bm 98-111 trop. om. Bm 98 σώματος De 100 ἐκ] ἐν De 104 προσέφερες De Wm 105-111 trop. om. De 111 ἀναβάσεις Wm 114 ἐκ] εἰς Wm 115 αὐτῆς] αὐτῶν De 116 ὡς φύσει τὸν κύριον De ὦ πιστοὶ τὸν κύριον Wm Bm 117 καὶ γὰρ τέτοκας σαρκὶ De καὶ γὰρ τέτοκεν σαρκὶ Wm Bm 118 τὸν ἐν] ἕνα ταῖς De Bm

91-97 AA.SS. 2* § 8: Ὁ δὲ λαβὼν αὐτόν, χειροτονεῖ αὐτὸν πρεσβύτερον ἐπιδεδωκὼς αὐτῷ καὶ τόμον ἐπιγεγραμμένον ἐν τῇ χειρὶ αὐτοῦ λέγων, ὅρον ἀποστολικὸν παράλαβε σήμερον .....

ᾠδὴ ϛʹ. *Ἐν πελάγει τοῦ βίου*

Ὁδηγὸς τῶν ἐν πλάνῃ
ἐγένου, μάκαρ
ἀοίδιμε, λαμπρός,
διαβιβάζων πρὸς τὴν ἄνω πόλιν
εἰς αἰῶνας αἰώνων,
τὴν ὄντως ἀσάλευτον
ἐκ Θεοῦ οἰκοδομηθεῖσαν.

f. 60v ‖ Νευρωθείς, θεομάκαρ,
δι' ἐγκρατείας,
ἐγένου σταθηρὸς
πρὸς τὰ παλαίσματα ἐχθροῦ καὶ ἧρας,
ἀνδρειότατε, νῖκος
ἐπ' ἄθλων ἀνάπλεον
καὶ χοροῖς τῶν δικαίων τέρπῃ.

Τὰ ἑσπέρια, πάτερ,
ὁδεύσας μέρη,
προέδρου ταῖς εὐχαῖς
ἐπὶ τὸ ἄντρον Ἀργυρίου τόπου
τοῦ οὕτω καλουμένου
οἰκήσας, γεγνώρισαι
ὡς φωστὴρ τοῖς ἐκεῖσε λάμπων.

heirm. ϛʹ EE 106, n. 149, Andreae 122 ἐπιβιβάζων De Wm Bm 123 εἰς αἰῶνα αἰῶνος De Wm αἰῶνα αἰώνων Bm 124 ἀσάλευτον] ἐν ἀφθαρσίᾳ De Wm Bm 128 σταθερὸς De 129 τὰ] τὰς Wm 130 ἀνδριώτατον De 131 ἀνάπλεον] μεμεστωμένον De Bm μεμεστωμένην Wm 132 χοροῖς] ἐχθροῖς Bm 133-139 trop. om. Bm 134 μέρη] μένη Wm 135 προέδρου] τοῦ πάπα De Wm 136 τόπον De 137 τῷ οὕτω καλουμένῳ De Wm 138 οἰκείας ἐγνώσθης πᾶσιν De οἰκήσας ἐγνώσθης πᾶσιν Wm 139 λάμψας De Wm

133-139 AA.SS. 2* § 8: ..... καὶ ἐν τῷ ἐκπορεύεσθαί σε ἐν τῇ ὑποστροφῇ σου πρὸς τὰ νοτιέα μέρη τῆς Σικελῶν ἐπαρχίας ἐν τοῖς ὅροις τοῖς ἐκεῖσε, τόπος ἐπίκειται, οὗ τὸ ὄνομα ἐπικαλεῖται Ἀργύριον, ἐν ᾧ πνευμάτων ἀκαθάρτων τοπικὴ μετάβασις γέγονεν .....

Ῥωμαλέως ἐρρύσω,
θεόφρον, πάντας
τῆς πλάνης τοῦ ἐχθροῦ·
τῇ ἀκρωρείᾳ γὰρ τοῦ τῆδε ὄρους
ἀνελθών, ἐκδιώκεις
δαιμόνων τὰς φάλαγγας
καὶ δεσμεύεις τοῦ Ἅιδου λόχμας.

θεοτ. Ῥῦσαι πάντας, παρθένε,
τούς πίστει θείᾳ
τιμῶντάς σε ἀεὶ
ἐκ τῶν παγίδων τοῦ ἀντικειμένου·
ἐλπίδα γὰρ καὶ σκέπην
καὶ τεῖχος σὲ ἔχομεν
πρὸς τὸν σὸν υἱόν, θεοτόκε.

Κοντάκιον.

Ἦχος β'. *Τὴν ἐν πρεσβείαις*

Τὸν ἐν πρεσβείαις ἀήττητον ἱερέα
καὶ τοῖς νοσοῦσι
. . . .

Ὁ οἶκος. *Τρώσόν μου*

Ἄνωθεν μὲν
Χριστὸν ἐκδυσώπει,
. . . .

140-146 trop. om. De Bm 145 φάλαγγας] πληθουργίας Wm 148 τοὺς θείῳ πόθῳ Bm 150 τῶν ἀταστάλων τοῦ πανάμουτμέου (sic) De τῶν ἀνασθλάλων τοῦπάν ἄσωτος μάκαρ (sic) Wm τῶν ἀταστάλων τοῦ παναποτμαίου Bm 151 ἐλπίδι γὰρ καὶ σκέπη De σκέπι Wm 152 καὶ τεῖχος πρὸς τὸν υἱόν σου De καὶ τὸ τεῖχος πρὸς τὸν υἱόν σου Wm καὶ τεῖχος πρὸς τὸν σὸν υἱὸν Bm 153 καὶ Θεὸν ἔχομέν σε μόνην De Wm Bm
κοντάκ. ΛΚ[II], 37 οἴκ. ΛΚ[II], 37

140-146 AA.SS. 2* § 9: . . . . . ἀνέρχεται ἐπὶ ὄρους ὑψηλοῦ ἄντικρυς τοῦ προειρημένου ὄρους τῆς Αἴτνης, ἔνθα εἰσὶν τὰ κτήματα Ἀργύρου τοῦ τοπάρχου· καὶ ποιήσας τὴν εὐχήν, ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ, προσηύξατο . . . . . ἐφάνη τῷ μοναχῷ ἡ χορεία τῶν δαιμόνων δίκην λίθων τελείων, ὡς ἐξ ὄρους ὑψηλοῦ κυλινδουμένη.

ᾠδὴ ζ'. *Πῦρ φλογίζον κάμινον ἐξετινάσσετο*

f. 61[v] ‖ Ἰσάγγελος γέγονας διὰ τῆς πίστεως,
Φίλιππε μακάριε,
ἀεὶ λαμπρυνόμενος,
ἱεροφάντα, τῇ αἴγλῃ
τῆς θείας αὐγῆς, ἧς ἐντὸς γέγονας.

Σαλεύονται δαίμονες τῇ παρουσίᾳ σου,
μάκαρ θεοστήρικτε,
καὶ πρὸς γῆν ὠθούμενοι,
θρηνητικῶς ἐκβοῶσιν
ἰσχὺν κατ' αὐτῶν τὴν δοθεῖσάν σοι.

Ὀχύρωμα, Φίλιππε, τοῖς ἀνυμνοῦσί σε,
τεῖχός τε ἀπόρθητον
γενοῦ καὶ ἑδραίωμα,
ἀποτειχίζων τὰ βέλη
τοῦ ὀλοθρευτοῦ τῶν ψυχῶν ἡμῶν.

Λύεις τοῦ συνέχοντος, πάτερ, τὸ γύναιον
πνεύματος, τὴν χεῖρά σου

heirm. ζ' ΕΕ 105, n. 147, Andreae Πῦρ φλέγον ἐν καμίνῳ ΕΕ 154 ἰσάγγελος] ἄγγελος De 155 μακάριε] τὸ καύχημα Bm 156 λαμπρυνόμενος ἀεὶ De Wm Bm 157 ἱεροφάντωρ De Wm Bm τῇ om. De 158 ἧς om. De Bm γεγονὼς De 160 θεοστόλιστε De Wm Bm 161 καὶ ὠθούμενοι τὴν σὴν De Wm Bm 162 θρηνικῶς De 163 δεικνύντες ἰσχὺν καὶ καθαρότητα De Wm Bm 164-173 trop. om. Bm 165 τεῖχός τε] πίστιν πὰν De πίστει γὰρ Wm 166 καὶ ἑδραίωμα γενοῦ De Wm 167 ἵνα μὴ αὖθις δρομίσας De Wm 168 δράκων ὀλέσῃ τὰς ψυχὰς ἡμῶν De Wm 169-173 trop. om. De 169 γύναιον] κόριον Wm 170 χεῖρά σου] ὄφθητον Wm

159-163 AA.SS. 2* § 9: Καὶ ἐκφεύγοντες, ἔκραζον θρηνώδη φωνήν, λέγοντες· Οὐαὶ ἡμῖν, ὅτι ἡ χεὶρ τοῦ ἀποστόλου Πέτρου πάλιν συνέφθασεν ἡμᾶς ἐν τοῖς ᾧδε φάραγξιν . . . . . Καὶ πάλιν ἀποδιωκόμεθα ἄρτι ὑπὸ Πέτρου διὰ τοῦ πρεσβυτέρου Φιλίππου.
169-173 AA.SS. 2*-3* § 10: Αὖθις οὖν ἐκτείνας τὴν χεῖρα ὁ μακάριος Φίλιππος, καὶ ἁψαμένης αὐτῆς τῆς χειρός, λέγει τῷ δαίμονι· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, καὶ Πέτρου τοῦ ἀποστόλου, ἔξελθε καὶ ἀναχώρησον εἰς τὸν ἡτοιμασμένον σοι τόπον . . . . . Καὶ παραυτίκα πεσοῦσα ἡ κόρη εἰς τὸ ἔδαφος πρὸ ποδῶν τοῦ ἱερέως Φιλίππου, ὑγιὴς γέγονε, καὶ ἀπίει εὐχαριστοῦσα τῷ Θεῷ.

169-173 cfr. Marc. 7,25-30

ἐπὶ τῷ ὀνόματι
Χριστοῦ ἐκτείνας καὶ Πέτρου,
τοῦ ἐν ἀποστόλοις ἐξάρχοντος.

θεοτ. Λύεις τὸ ἀνθρώπινον γένος τῷ τόκῳ σου,
κόρη ἀπειρόγαμε,
τῆς ἀρᾶς τοῦ πτώματος
καὶ πρὸς ζωὴν ἐπανάγεις
τὴν ἀληθινὴν καὶ ἀΐδιον.

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Βαίνεις, μάκαρ, κλίνην νεκροῦ,
δάκρυσιν
καμφθεὶς τῶν ἱκετῶν,
καὶ τοῦ παιδὸς τὴν κορυφὴν
τῇ χειρί σου κατασφραγίσας,
τρισσῶς τε καλέσας
καὶ ἐγείρας, γεννήτορσι δέδωκας,
ὡς Χριστὸς τῇ Μάρθᾳ
πάλαι τὸν τεταρταῖον.

171 χεῖρα τείνας καὶ εἰπὼν Wm 172 ἐν τῷ ὀνόματι φεῦγε Wm 173 Χριστοῦ τοῦ Θεοῦ καὶ Πέτρου προορίζοντος Wm 174 λύει De γένος τῷ τόκῳ σου] φῦλον ὃν τέτοκας De Wm Λύει τὸ ἀνθρώπινον γένος ὃν τέτοκας Bm 176 τοῦ πτώματος] καὶ προσκαίρου ζωῆς De καὶ πρὸς ζωὴν Wm Bm 177-178 ἀνέλκυσας ταῖς σαῖς προσευχαῖς θεοχαρίτωτε De 177 τῇ ἀνωτάτῳ ἀθροίζεις Wm τῇ ἀνωτάτῳ ἀθροίζει Bm 178 ταῖς σαῖς προσευχαῖς θεοχαρίτωτε Wm Bm

heirm. η' EE 107, n. 150, Andreae 179 Βαίνεις] Ῥαίνεις De κλίνην νεκροῦ] δρόμῳ τῇ κλίνῃ De δρόμῳ τῇ κρήνῃ Wm δρόμῳ τὴν κλίνην Bm 181 οἰκετῶν De 184 τε καλέσας] τῷ Ἰωάννῃ De Wm Bm 185 καὶ ἐγείρας] ἀνακράξας De Wm Bm 186 ὡς ὁ Χριστὸς πάλαι De Bm ὁ χριστὸς ὡς πάλαι Wm 187 πάλαι] Μάρθας De Wm Bm

179-187 AA.SS. 3* § 12: Ὁ δὲ κατασείσας τὴν κεφαλήν, δρομαίως ἀπέρχεται ἐπὶ τὴν πηγήν, καὶ θεωρεῖ τὸν νεανίσκον νεκρὸν κείμενον ..... κατασφραγίσας αὐτὸν τῷ τόμῳ τῷ ἀποστολικῷ, καλεῖ αὐτὸν τρίτον «Ἰωάννης, Ἰωάννης, Ἰωάννης, ἐπὶ τῷ ὀνόματι τοῦ Θεοῦ ἀνάστα». Καὶ εὐθέως ὁ νεανίσκος ἀνέστη ὡς ἐξ ὕπνου.....

179-187 Joh. 11,38-44

Ἴτω μέσον ὁ χρυσουργός,
κίνδυνον
πῶς πέφευγε βοῶν;
ἐκ γὰρ ἐχίδνης σπαραγμοῦ
τοῦτον σώσας ὁ χρηστορρήμων,
πανάρτιον οἴκοι
ἀποστέλλει βαδίζειν, ψυχῆς αὐτῷ
τὴν ὑγείαν δώσας
διὰ τῶν ἐνταλμάτων.

Ὄντως θαῦμα· πῶς ἡ νηδὺς
ἔμβρυον
ἀπέρριψε νεκρόν;
ὕδωρ γὰρ τὸ εὐλογηθὲν
τῇ χειρί σου πιεῖν κελεύσας,
εὐθέως λυτροῦσαι
τοῦ κινδύνου τὸ γύναιον, ὅσιε,
τὸ τριημερεῦον
ἀμβλωθριδοτοκίᾳ.

188-196 trop. om. Bm 188 Οὕτω μέσον ὁ χρυσοβρύθων De Ἰσομέσον ὁ χρυσοβρύθων Wm 191 ἐκ] ἐν De 192 χρυσορήμων De Wm 193 οἴκοι] βαδίζειν De Wm 194 οἴκοι λέξας ἀπέστειλεν δοὺς αὐτῷ De Wm 195 καὶ ψυχῆς ὑγείαν De Wm 197 ἡ νηδὺς] τὸ ἐν μήτρᾳ De Wm Bm 199 ἀπέρριψε] ἐξώθηται De Bm ἐξώθισται Wm 200 καὶ γὰρ ἐλθὼν ρεῖθρον (= ρεῖθρα De) σοφὲ De Wm Bm 201 τῇ τυχούσῃ ποιεῖν κελεύεις De τῇ χειρί σου] τοῖς πάσχουσι Wm τῇ πασχούσῃ Bm κελεύεις Wm 202 ἀμβρόσιον καὶ σώζεις De Wm Ἀμβροσίου καὶ σώζεις Bm 203 πάραυτα ἐκ κινδύνων τὸ γύναιον De Wm Bm 204 τετρημερεῦον Wm Bm 205 ἀμβλωθρινωτοκεία De

188-196 AA.SS. 3* § 13: ..... προφθάνει γηραλαῖός τις ὀνόματι Ἀθανάσιος, δαχθεὶς ὑπὸ ἐχίδνης, καὶ σχεδὸν ὅλου τοῦ σώματος αὐτοῦ τετρωσκομένου ..... ὁ δὲ μεθ' ὅρκου ἔφη, ὅτι διὰ τῶν εὐχῶν σου, δέσποτα, εἰ ὑγείας τύχω, ἀφίσταμαι ἀπὸ τῆς σήμερον ἀπὸ πάντων τῶν πονηρῶν μου πράξεων. Ὁ δὲ πτύσας εἰς τὸ ἔδαφος ..... καὶ πάραυτα ὑγιὴς γέγονεν.

197-205 AA.SS. 3* §14: Οἱ δὲ ἔφησαν πρὸς αὐτόν. Ὅτι νεκρόν ἐστι τὸ ἔμβρυον αὐτῆς βρέφος, καὶ οὐ δύναται τεκεῖν. Ὁ δὲ ταῖς δυσὶν αὐτοῦ χερσὶν λαβὼν ὕδωρ, καὶ βαλὼν ἐν ποτηρίῳ, ἐκέλευσεν αὐτὴν πιεῖν ..... καὶ αὐτίκα ἐξέπεσεν τὸ βρέφος..... καὶ ἐσώθη ἡ κόρη.

Νῦν ὑμνείτω καὶ ὁ ποιμήν,
θρέμματα
f. 61v ὁ νέμων σὺν ‖ ἡμῖν
τὸν ἐν κινδύνοις ἀρωγὸν
καὶ βοάτω· πῶς ἐξ ἀγρίων
θηρῶν σώζει ποίμνην;
τὸν γὰρ χοῦν ἁγιάσας ὁ ὅσιος
ῥᾶναι τῇ εἰσόδῳ
δέδωκε τοῦ ποιμνίου.

θεοτ. Νοῦς οὐ σθένει, κόρη ἁγνή,
ὕμνον σοι
προσάξαι πρεπωδῶς·
τὸν γὰρ Θεὸν δίχα σπορᾶς
συλλαβοῦσα τίκτεις ἀφράστως,
ἐκ σοῦ σαρκωθέντα
καὶ παρθένος διέμεινας, ἄσπιλε,
ἀλλὰ τοῦτον, κόρη,
ὑπὲρ ἡμῶν δυσώπει.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

Σωτὴρ αἱμορροούσῃ
ὡς τῇ πάλαι ὤφθη Χριστός·

206-214 trop. om. De Bm 206 ποιμὴν] ποιμενάρχης Wm 207 κάματα Wm 212 ὅσιος] μάκαρτος Wm 213 τῇ εἰσόδῳ ράναι Wm 214 τῷ ποιμνίῳ Wm 215 Νοῦς (= τοὺς De) μερόπων κόρη οὐ σθένει De Wm Bm 217 προπεδῶς Wm 218 τὸν Θεὸν ἄνευ σπορᾶς Bm 219 τίκτεις ἀφράστως] τέτοκας μόνη De Wm Bm 220 σαρκὶ ὡς ἠβουλήθη De Wm σαρκὶ ὡς ἠκολούθει Bm 221 ἄσπιλος De ἄχραντε Bm

heirm. θ' EE 106, n. 149, Andreae 224 αἱμορροούσης De Wm Bm 225 τῆς De Wm Bm

---

206-214 AA.SS. 3* § 15: Πάλιν ἐπέρχεται αὐτῷ ποιμὴν ἐν μεσημβρίᾳ λέγων· ..... καὶ διανέμω αὐτοῦ τὰ θρέμματα, καὶ ἤλθησαν θῆρες δύο ἄγριοι, καὶ ἀναλίσκουσιν αὐτὰ ..... ὁ δὲ τοῦ Θεοῦ θεράπων, λαβὼν χοῦν ἐκ τῆς γῆς καὶ τῷ τόμῳ εὐλογήσας αὐτόν, παρήγγειλεν τῷ ποιμένι λέγων· ἔκχυσον αὐτὸν ἐπὶ τὸ διόρυγμα τῶν θρεμμάτων .....Καὶ ἐποίησεν ὁ ποιμὴν ὡς προσετάγη αὐτῷ, καὶ ἀπεσοβήθησαν οἱ δεινότατοι θῆρες.....

224-229 AA.SS. 3* § 16: Ἦν δέ τις γυνή, ὀκτὼ ἔτη ῥύσιν αἵματος ἔχουσα ἀδιάστατον ..... δέδωκεν τῇ γυναικὶ τὸ ἀπόνιμμα τῶν τιμίων αὐτοῦ χειρῶν. Ἡ δὲ πίστει δεξαμένη, καὶ μεταλαβοῦσα ἐξ αὐτοῦ τῇ βουλῇ τοῦ Θεοῦ, παραχρῆμα ἰάθη.

224-229 Matth. 9,20-22

τὸ νίμμα γὰρ λαβοῦσα, ἱερεῦ,
τῶν ἁγίων σου χειρῶν,
ἀπολαμβάνει ὁλικῶς
καὶ τὴν βοήθειαν.

Τὸ σῶμά σου, παμμάκαρ,
εἰ καὶ τάφῳ τέθηται,
δυνάμεις ἰαμάτων ἐκτελεῖ·
Εὐλαβίῳ γὰρ ὡς ζῶν
ἐκφαντικῶς ἐπικουρεῖ
τῷ δαιμονῶντι δεινῶς.

Ἐδόξασέ σε μόνος
ὁ δοξάζων τοὺς εὐσεβῶς
δοξάζοντας αὐτόν, τερατουργέ,
παρ' οὗ αἴτησαι ἡμῖν
ἁμαρτημάτων ἱλασμόν,
Φίλιππε ἔνδοξε.

Φθορᾶς ἁπάσης ῥῦσαι
τοὺς τιμῶντας εἰλικρινῶς
σέ, Φίλιππε, καὶ δώρησαι ἡμῖν
τὰς ἰάσεις τῶν παθῶν·
μεγίστην ἔχεις πρὸς Θεὸν
καὶ γὰρ οἰκείωσιν.

---

226 νίμμα] πῶμα De Wm Bm 227 ἁγίων] ἀθώων De Wm Bm 232 ἐκλετεῖ Wm 233 ὡς] ὁ Wm 234 ἐπικουρεῖς Bm 236-241 trop. om. De Wm Bm: pro hoc aliud referunt:

Εὐτρόπιος ἐπέστη
ὁ ξηρόχειρος ὡς τὸ πρὶν
ἡμίξηρος χωρεῖ (= Χριστῷ Wm Χριστοῦ Bm) ἐν τῇ σορῷ
σοῦ καὶ ἤλειφεν (= τῇ σῇ καὶ εἴληφεν Bm) μελῶν
τὴν ἀναγέννησιν (= ἀνακαίνισιν Wm Bm) τὴν σήν, (τῇ σῇ = Wm)
Φίλιππε, χάριτος. (= χάριτι Wm Bm)

242-247 trop. om. Bm 243 τιμῶντας σε Wm 244 σὲ] ὦ De Wm 247 καὶ] σὺ De

---

230-235 AA.SS. 7* § 33: Ἵνα δὲ φανῇ καὶ μετὰ θάνατον ὁ τοῦ Θεοῦ θεράπων, πηγὰς ἐκβλύζων ἰαμάτων, καταλαμβάνει τὴν σεπτὴν αὐτοῦ θήκην Εὐλάβιος ὁ μοναχός, ὁ ἐκ τῆς τῶν Πανορμητῶν πόλεως ὑπὸ πνεύματος ἀκαθάρτου δεινῶς βασανιζόμενος ..... Καὶ παραυτὰ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ὁ ἅγιος ἐκφαντικῶς σὺν τῷ τόμῳ, καὶ κατασφραγίσας αὐτόν, παραχρῆμα ὑγιὴς γέγονεν, ...

῾Ως ἔχων παρρησίαν
πρὸς Χριστόν, παμμάκαρ, θερμῶς
ἱκέτευε ρυσθῆναι πειρασμῶν
τοὺς δοξάζοντας πιστῶς
τὴν ἱεράν σου ἑορτήν,
ἔνδοξε Φίλιππε.

θεοτ. ῏Ω μήτηρ καὶ παρθένε,
ἡ Θεὸν τεκοῦσα σαρκί,
μὴ παύσῃ ἱκετεύουσα αὐτὸν
τοῦ ρυσθῆναι ἐκ φθορᾶς
τοὺς θεοτόκον ἀληθῶς
ὁμολογοῦντάς σε.

248-253 trop. om. De Bm 249 Χριστὸν] Θεὸν Wm 251 τὸν τολμήσαντα μικρῶς Wm 252 τὴν ἱεράν σου] ἐγκωμιάσαι Wm 253 ἔνδοξε] σοῦ θείαν Wm 254-259 θεοτ. diversum in De Wm:

῏Ω μῆτερ καὶ παρθένε (= μήτηρ Wm)
νύμφη, τράπεζα καὶ παστὰς
καὶ θρόνε καὶ νεφέλη καὶ πηγὴ
καὶ σφραγὶς βασιλική,
ὡς ὑπερβᾶσαν οὐρανοὺς (= οὐρανὸς Wm)
σὲ μεγαλύνομεν.

in Bm: ῏Ω μῆτερ καὶ παρθένος,
νύμφη πάναγνε καὶ παστὰς
καὶ θρόνος καὶ νεφέλη φωτεινὴ
καὶ σφραγὶς βασιλική,
ὡς ὑπερβᾶσα οὐρανούς,
σὲ μεγαλύνομεν.

IN SANCTAM GLYCERIAM

Synaxarium, 679*: Αὕτη ἦν ἐπὶ τοῖς χρόνοις ᾿Αντωνίνου τοῦ βασιλέως καὶ Σαβίνου ἡγεμόνος ἐν Τραϊανουπόλει. Θύοντος οὖν τοῦ ἡγεμόνος τοῖς εἰδώλοις αὕτη ἐπιγράψασα ἐπὶ τοῦ μετώπου αὐτῆς τὸν τίμιον σταυρόν, ἦλθεν πρὸς τὸν ἡγεμόνα χριστιανὴν ἑαυτὴν καὶ δούλην Χριστοῦ ὀνομάζουσα· τοῦ δὲ ἡγεμόνος παραινοῦντος αὐτῇ θῦσαι, εἰσελθοῦσα ἐν τῷ ναῷ καὶ εὐξαμένη τῷ Χριστῷ, κατέβαλεν τὸ τοῦ Διὸς εἴδωλον καὶ συνέτριψεν. Οἱ δὲ συνόντες ἕλληνες λίθοις ἀφιέντες οὐκ ἐξικνοῦντο αὐτῆς. Κρεμᾶται οὖν ἐκ τριχῶν καὶ ξέεται, εἶτα ἐν εἱρκτῇ βληθεῖσα ἀπόσιτος διαμένειν κελεύεται ἐπὶ ἡμέρας πολλάς, ἔνθα δι᾽ ἀγγέλου δεχομένη τροφήν, οὐδὲν ἔπασχεν ὧν ὑπενόει ὁ ἡγεμὼν διὰ λιμοῦ αὐτὴν ὑποστῆναι· καὶ θαῦμα ἔλαβεν τόν τε ἡγεμόνα καὶ τοὺς σὺν αὐτῷ, εὑρόντες πίνακα καὶ ἄρτους καὶ γάλα καὶ ὕδωρ, ἀκριβῶς τοῦ δεσμωτηρίου ἠσφαλισμένου. Μετὰ ταῦτα ἐμβάλλεται καμίνῳ πυρός· κατενεχθείσης δὲ ἄνωθεν δρόσου, τὸ πῦρ ἐσβέσθη καὶ τῆς καμίνου ἐξέρχεται ἀβλαβής· ἐπὶ τούτοις λωροτομεῖται τὴν κεφαλὴν μέχρι τοῦ μετώπου καὶ δεσμεῖται χεῖρας καὶ πόδας. Καὶ ὑποστρωθέντων λίθων ἐν τῇ φυλακῇ ἐπιτίθεται· ἔνθα ἐπιστασίᾳ ἀγγέλου λυθεῖσα τῶν δεσμῶν καὶ ὑγιασθεῖσα τὴν κεφαλὴν τόν τε δεσμοφύλακα ἐξέπληξε Λαοδίκιον, ὃς ὁμολογήσας τὸν Χριστὸν ἐτμήθη τὴν κεφαλήν, καὶ πρὸς τὸν ἡγεμόνα ἀχθεῖσα θηρίοις ἐκδίδοται, ὧν ἑνὸς ἀψαμένου αὐτῆς, ὡς μικρόν τι δεῖγμα γενέσθαι οὐ πληγὴν οὐδὲ μώλωπα, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν· καὶ κατετέθη ἐν ῾Ηρακλείᾳ τῆς Θράκης. (1)

Crypt. Δ.α. IX	= Cl,	ff. 67v-71v
Paris. gr. 1575	= Pv,	ff. 81v-82v
Vat. gr. 787	= Vw,	ff. 25-27
Paris. Suppl. gr. 152	= Sc,	ff. 66v-67v
Vat. gr. 1510	= Vs,	ff. 262v-265

(*) Synax. Selecta 679 34-49

(1) Synax. cfr. Vw, ff. 26-26v.

Ὁ κανών. ⟨Θεοφάνους?⟩

Ἦχος πλ. δʹ.

ᾠδὴ αʹ. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν*

Πικρίας με ῥῦσαι τῆς τῶν παθῶν
ταῖς σαῖς, Γλυκερία,
πρὸς τὸν κύριον προσευχαῖς,
ὅπως σου τὴν μνήμην ἀνυμνήσω
καὶ τοὺς γενναίους δοξάσω ἀγῶνάς σου.

Τρωθεῖσα τῷ ἔρωτι τοῦ Χριστοῦ,
σταυροῦ παντευχίᾳ
κατεπάλαισας τὸν ἐχθρὸν
καὶ νίκης ἐδρέψω τοὺς στεφάνους,
ὦ Γλυκερία σοφὴ καὶ πανεύφημε.

Οἱ λίθοις προσνέμοντες τὴν τιμὴν
σὲ λιθολευστοῦσιν,
ἀτενίζουσαν ἐκ ψυχῆς
f. 68 ζωῆς πρὸς τὴν πέτραν, ‖ τὸν δεσπότην,
τὸν σοὶ δωρούμενον νίκην, θεόνυμφε.

θεοτ. * Κυρίως τεκοῦσα φύσει Θεόν,
κυρίως ἀκούεις

---

tit. Τῶν ἁγίων μαρτύρων Ἀλεξάνδρου καὶ Γλυκερίας Cl   Εἰς τὸν ὄρθρον κανόνες Cl (cfr. p. 152) Cl duos canones alternatis odis praebet, quorum primus inc. Δεῦτε μυστικῶς, ἀδελφοί, in s. Alexandrum dicatus (cfr. p. 152), alter hic, quem fuse referimus.
heirm. αʹ EE 220, n. 315, Joannis   5 ἀγῶνας δοξάσω σου Vs   8 καταπαλαίσας Vs   9 ἐδρέψω] ἐδέξω Vs   10 σοφὴ καὶ] παρθένε Pv Vw Sc Vs
16-20 θεοτ. MR V, 99

11-15 AA.SS. Maii III (1680) 13* § 4: Θυμομαχῶν δὲ ὁ ἡγεμὼν καὶ πάντες οἱ μιαροὶ ἱερεῖς, ἐκέλευσαν αὐτὴν λιθαζομένην ἀποθανεῖν. Τὰ δὲ πλήθη τῶν ἀνόμων κατελθόντα ἀπὸ τῆς πείρας, ἔρριπτον λίθους ἐπ᾿ αὐτήν· οἱ δὲ λίθοι, ὡς ἐν ἀποθήκῃ ἀποκείμενοι, οὕτως ἐτήρουν αὐτὴν μὴ δ᾿ ὅλως ἁπτόμενοι αὐτῆς.

θεοτόκος καὶ ἀληθῶς
τὴν προσηγορίαν καταλλήλως
τῷ θείῳ τόκῳ, ἁγνή, διαφέρουσα.

ᾠδὴ γʹ. *Οὐρανίας ἁψῖδος*

Οὐκ ἀσπίδα, οὐ δόρυ,
ἀλλὰ σταυροῦ τρόπαιον
πίστει ἀδιστάκτῳ λαβοῦσα,
ἀπηυτομόλησας
πρὸς τὰ παλαίσματα,
πρὸς τοὺς γενναίους ἀγῶνας,
πρὸς τοῦ κοσμοκράτορος
τὰ μηχανήματα.

« Σέ, νυμφίε, ποθοῦσα,
οὐ δειλιῶ θάνατον,
σοῦ ταῖς καλλοναῖς ἡδομένη,
πικρὰν ὑφίσταμαι
χαίρουσα βάσανον
καὶ χαλεπὰς τιμωρίας »,
Γλυκερία πάσχουσα,
σῶτερ, ἐκραύγαζεν.

Ἐκ τριχῶν κρεμαμένη
καὶ σιδηροῖς ὄνυξιν
καταξεομένη τὸ σῶμα,
πόνους ὑπέφερες,
λῆξιν τὴν ἄπονον
καὶ τοῦ νυμφίου τὸ κάλλος
προορῶσα, πάνσεμνε,
νοῦ καθαρότητι.

---

20 τόκῳ] Λόγῳ MR   πανάμωμε φέρουσα Vw   φέρουσα Pv Sc Vs περιφέρουσα MR
heirm. γʹ EE 220, n. 315, Joannis   27 τοῦ] τοὺς Vs   33 καὶ βάσανον Pv   35 πάσχουσα] κράζουσα Vw   36 ἐκραύγαζεν] ὡς ἔπασχεν Vw
39 περιξεομένη Pv Vw Sc Vs

θεοτ. * Νεκρωθέντα με πάλαι
πρὸς τὴν ζωήν, πάναγνε,
αὖθις ἐπανήγαγες μόνη
τὴν ἐνυπόστατον
ζωὴν γεννήσασα,
ἧ προσβαλὼν διερράγη
προφανῶς ὁ θάνατος
ὁ δυσμενέστατος.

f. 68r ‖ ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Τὸ μακάριον πάθος σου
μάρτυς ἡ θεόφρων ἐξεικονίζουσα,
ὑποφέρει τὴν ἀνάρτησιν
καὶ μαστίγων πόνους, παντοδύναμε.

Ὀχετοῖς τῶν αἱμάτων σου
πῦρ ἀπετεφρώθη τῆς ματαιότητος,
κατεκλύσθησαν δὲ χείμαρροι
τῆς πολυθείας, παμμακάριστε.

45-52 θεοτ. MR I, 505 47 αὖθις] πάλιν Pv Vw Sc Vs MR 49 v. om. Vs 50 ἣν Pv Sc προσλαβὼν Cl

post oden γ' κάθ. interponit Vm:

ἦχος δ' ⟨*Εἱρμὸς*⟩ *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*
Καταστολαῖς περιφανῶς κοσμουμένη
τῶν ἱερῶν καὶ θαυμαστῶν σου ἀγώνων,
οἷάπερ νύμφη ἄμωμος,
παρθένε, Χριστοῦ,
τούτῳ πρὸς ἀκήρατον
συνεισῆλθες νυμφῶνα
καὶ τῆς ὡραιότητος
τῆς αὐτοῦ ἀπολαύεις· (= ἀπολαύων Vs)
ἀλλὰ δυσώπει ῥύσασθαι (= σώζεσθαι Pv Sc Vs) ἡμᾶς
πάσης ἀνάγκης,
τοὺς πόθῳ ὑμνοῦντάς σε.

hoc κάθ. post oden ϛ' praebent Pv Sc Vs ut κοντάκ. in Vs et alterum κάθ.

ἦχος δ'. *Ταχὺ προκατάλαβε*
Θεοῦ δόσις πέφυκας
εἰκότως, μάρτυς σεμνή, MR V,186 (in sanctam Theodosiam)

heirm. δ' EE 225, n. 322, Cosmae 58 ἀπετεφρώδη Vw

53-56 cfr. Filip. 3,9-10; I Petr. 4,12-13

Ῥαπισμοὶ σιαγόνων σου
πρόσωπα δαιμόνων, μάρτυς, ἐρράπισαν,
συντριβὴ δὲ τοῦ προσώπου σου
ὡσεὶ χνοῦν τὴν πλάνην ἐξελέπτυνεν.

Οἱ τὸ σῶμα αἰκίζοντες
σοῦ τῆς ζηλωσάσης βίον ἀσώματον
παρεθέντες ἐνεκρώθησαν
ἀσωμάτων θείων ἐπιθέσεσιν.

θεοτ. * Τῶν παθῶν μου τὸν τάραχον
ἡ τὸν κυβερνήτην τεκοῦσα κύριον
καὶ τὸν κλύδωνα κατεύνασον
τῶν ἐμῶν πταισμάτων, θεονύμφευτε.

f. 69 ‖ ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Καλλοναῖς ἡδομένη
τῆς καλλοποιοῦ Ἰησοῦ ὡραιότητος,
εἰς ὀσμὴν τῶν μύρων
τῶν αὐτοῦ παθημάτων ἀνέδραμες,
φλεγομένη πόθῳ,
πυρπολουμένη τῇ ἀγάπῃ
τῆς αὐτοῦ, Γλυκερία, φαιδρότητος.

Ἐκ πηγῶν σωτηρίου
ἀπαρυσαμένη σωτήριον ἴαμα,
ἐξεκαύθης δίψῃ
μαρτυρίου καὶ σπεύδουσα ἔδραμες

61-64 trop. om. Vs 62 ἐρράπισας Sc 64 κατελέπτυνεν Pv Vw Sc 65-68 trop. om. Pv Vw Sc 66 τὸν βίον Vs 67 παραθέντες Vs 69-72 θεοτ. ER, 461 71-72 vv. om. Vs

heirm. ε' EE 219, n. 314, Joannis 74 τῆς καλλοποιοῦ ὡραιότητος τοῦ υἱοῦ τοῦ Θεοῦ Cl τῆς] τοῦ Vs 76 ἀπέδραμες Pv ἐπέδραμες Vw Vs Sc 81 σωτήριον] ἀείζωον Pv Vw Sc Vs 83 σπεύσασα Pv Vw Sc Vs

---

73-79 cfr. Eph. 5,1-2

καὶ πιοῦσα ἔστης,
ἐπαναπαύσασα τῶν πόνων
ἐφετῶν ἀκροτάτῳ, θεόνυμφε.

Οὐρανίῳ τροφῇ σε,
μάρτυς, ἐν φρουρᾷ διατρέφουσιν ἄγγελοι·
τὴν τροφὴν γὰρ κόσμου
καὶ τῶν ζώντων ζωὴν ἐπεπόθησας,
ᾗ παρέστης ὄντως,
ἐν κροσσωτοῖς ὡραϊσμένη
τῶν στιγμάτων τῆς σῆς ἐναθλήσεως.

θεοτ. Ἐν δυσί σε τελείαις
φύσεσι γινώσκομεν ἕνα υἱὸν τοῦ Θεοῦ,
ἐνεργείαις ἄμφω
καὶ θελήμασιν ὄντα ἀσύγχυτον,
τὸν δι' εὐσπλαγχνίαν
ἐκ γυναικὸς λαβόντα σάρκα,
οὗ τὸ εἶδος τιμῶμεν ἐν πίναξιν.

f. 69v || ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ,*

Τὸ πέλαγος ἀβλαβῶς
διέπλευσας τῆς ἀθλήσεως
καὶ σάλον τῶν ἀλγεινῶν
διέβης ἀχείμαστος
καὶ λιμένας ἔφθασας
τοὺς γαληνοτάτους,
θείαις αὔραις εὐπλοΐσασα.

---

85 ἐπανεπαύσασα Vs   τῶν πόνων] τὸν πόθον Vw   87 οὐρανίᾳ Vw
94-100 θεοτ. om. Pv Vw Sc Vs, pro hoc aliud praebent:
Μητρικὴν παρρησίαν
τὴν πρὸς τὸν υἱόν σου MR III, 283
heirm. ϛ' EE 220, n. 315, Joannis   103 σάλῳ Vw Vs   τὸν ἀλγεινὸν Cl

---

87-93 AA.SS. 14* § 8: Ἐλθὼν οὖν ἐσφράγισεν τὴν φυλακήν, εἶπε τηρεῖσθαι καὶ τὰ ἔξω. Οὔσης δὲ αὐτῆς ἔσω, καὶ ὑμνούσης τὸν Θεόν, ἔφερον αὐτῇ τροφὴν ἄγγελοι.

Τοῦ Παύλου τοὺς διωγμούς,
θεόφρον, ἐξεικονίζουσα,
προστάξει τυραννικῇ
εἰς πόλιν ἐκ πόλεως
προβαίνεις πυκτεύουσα
πρὸς ἀρχὰς τοῦ σκότους
καὶ τὴν ἄνω πόλιν ἔφθασας.

Ὡς ἥλιος ἐκ δυσμῶν
ἡ μάρτυς ἐξανατείλασα,
φωτίζει τὰς τῶν πιστῶν
καρδίας ἐν χάριτι
καὶ φλέγει τὰς φάλαγγας
ζοφερῶν δαιμόνων
ταῖς ἀκτῖσι τῆς ἀθλήσεως.

θεοτ. * Ὡς ἔμψυχος κιβωτὸς
ἐδέξω Λόγον τὸν ἄναρχον,
ὡς ἅγιον ἱερὸν
τὸν κτίστην ἐχώρησας,
ὡς θρόνος πυρίμορφος
φέρεις τὸν δεσπότην,
θεομῆτορ, πάσης κτίσεως.

⟨Κάθισμα⟩. Ὅμοιον.

⟨Ἦχος δ'. *Ταχὺ προκατάλαβε*⟩

Τοῦ πρώτου τὴν ἔνδοξον
τρίβον ἀνοίξαντος
ἐδέξω τὸν στέφανον

---

110 πρὸς τάξιν τυραννικὴν Vs   112 προβαίνειν Vs   118 ἐν] τῇ Pv Vw Sc Vs   122-128 θεοτ. MR I, 294
pro hoc θεοτ., aliud praebet Vs, cuius:
Ῥυσθείημεν τῶν δεινῶν
πταισμάτων ταῖς ἱκεσίαις σου MR V, 291   128 πάσης κτίσεως] πανσεβάσμιε Vw
καθ. Cl unus ex omnibus codicibus praebet
heirm. καθ. HR, 63

108-114 Act. 22,3-5   κάθ. 1-11 Act. 7,54-60

ὡς καὶ ὁμότροπος
f. 70 καὶ ‖ δόξης ἐπέτυχες·
λίθοις γάρ σε οἱ λίθους
προσκυνοῦντες ἀφρόνως
βάλλουσιν, Γλυκερία,
ἀθλοφόρε κυρίου,
Χριστῷ ἐνατενίζουσαν
τῷ λυτρωτῇ ἡμῶν.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἐν καμίνῳ βληθεῖσα
οὐκ ἐφλέχθης· εἰς δρόσον
καὶ γὰρ μετέβαλεν
τὸ πῦρ ὁ νεανίας,
ὁ τρεῖς ἐν Βαβυλῶνι
διασώσας καὶ ἔψαλλες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Τοῦ σταυροῦ ταῖς ἀκτῖσιν
λαμπομένη, ἀγνοίας
σκότος διέφυγες,
καρδίας δὲ τῶν πίστει
βοώντων, Γλυκερία
ἀθλοφόρε, ἐφώτισας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Δερματίνους χιτῶνας
τῆς φθορᾶς ἐξεδύσω,
μάρτυς ἀοίδιμε,
δορὰν ἀφαιρουμένη

heirm. ζ' ΕΕ 224, n. 321, Joannis 133 ὁ] τοὺς Pv Vw Sc Vs 134 καὶ ἔψαλλες] πανένδοξε Pv Vw Sc Vs 138 ἀγνείας Sc 139 σκότους Vw Vs

129-136 Dan.: 3,49-50

μετώπου καὶ τῆς κάρας,
δικαζόντων ὠμότητι,
ἀναβοῶσα θερμῶς·
« Χριστέ, εὐλογητὸς εἶ ».

f. 70v θεοτ. * ‖ Νέον φέρουσα βρέφος
τὸν πρὸ πάντων αἰώνων
Θεόν, πανάμωμε,
ἐκ σοῦ σωματωθέντα,
μὴ παύσῃ δυσωποῦσα
τοῦ σωθῆναι τοὺς ψάλλοντας·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Τοῦ φυτουργοῦ τῆς κτίσεως
σὺ πολύφορος ἄμπελος
ὤφθης, Γλυκερία, ἀληθῶς περκάζουσα
ἀθλήσεως βότρυας,
ἀποθλιβέντας, μάρτυς, ληνοῖς
ταῖς μαρτυρικαῖς καὶ κατανύξεως οἶνον
προχέοντας τοῖς πίστει
τῷ Χριστῷ μελῳδοῦσιν·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὑποστρωθέντων, ἔνδοξε,
ὀξυτάτων ὑπέφερες
λίθων ἐκκεντήσεις ἀκλινεῖ φρονήματι,
ζωγρεῖς δὲ τὸν φύλακα
καὶ δεδεμένη θείαις πλοκαῖς
τῆς εἰδωλικῆς ἀπολυθέντα ἀπάτης
καὶ μάρτυρα προσάγεις

150-152 ὠμότητι δικάζοντος (= τοῦ δικάζοντος Vw) (δικάζων Vs) / τὸν σοὶ διδοῦντα ἰσχὺν / ὑμνοῦσα εὐχαρίστως (= ὑμνοῦντα Vs) Pv Vw Sc Vs 153-160 θεοτ. MR III, 465

heirm. η' ΕΕ 219-220, n. 314, Joannis 162 ἄμπελος] ἄγγελος Vs 168 μελῳδοῦσα Vw Sc 173 ἀκλινεῖ] ἐληθεῖ Vs

τῷ Χριστῷ μελῳδοῦντα·
« λαὸς ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὡς Δανιὴλ ἐφίμωσας
τῶν θηρίων τὰ στόματα
θείαις ἐπῳδαῖς τῶν προσευχῶν σου, πάνσεμνε,
τὸ πῦρ ἀπετέφρωσας,
τοὺς ἀνομοῦντας ᾔσχυνας,
σώματι θνητῷ ἀθανασίαν ἐκτήσω,
ἀγγέλοις ὡμοιώθης,
σὺν αὐτοῖς μελῳδοῦσα·
« λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Ῥήμασι σοῖς ἑπόμενοι,
μακαρίζομεν, πάναγνε,
σὲ τὴν μακαρίως ἐν σαρκὶ γεννήσασαν
f. 71 τὸν ὄντως ‖ μακάριον
καὶ φῶς οἰκοῦντα ἄδυτον
καὶ φωταγωγοῦντα τοὺς αὐτῷ μελῳδοῦντας·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἔφριξε*
πᾶσα ἀκοὴ

Ὁ νοῦς σου
νεύσει πρὸς Θεὸν

178 Λαοδίκιον ψάλλειν Pv Vs Λαοδίκιον ψάλλεις Sc 181 ἐφίμωσας] τὸ πρότερον Vw 183 σου, πάνσεμνε,] ἐφίμωσας Vw 185 ᾔσχυνας] ἤλεγξας Pv Vw Sc Vs 186 σῶμα τὸ θνητὸν Vs 191-200 θεοτ. MR III, 465-466 193 μακαρίαν Pv Vw Sc Vs MR ἐν [τὴν Pv Sc Vs γεννήσασαν] κυήσασαν Vw Vs 195 καὶ] τὸν Pv Vw Sc Vs MR 196 καὶ φωταγωγὸν καὶ φωτοδότην δεσπότην Pv Vw Sc Vs MR 197 οἱ] ὃν Pv Vw Sc MR εὐλογοῦσιν Vw MR

heirm. θ' EE 222, n. 317, Joannis

181-190 Dan. 6,18-19

ἡδυνόμενος, ἐτήρει ἀνάλγητον
σοῦ τὸ πολύαθλον,
παρθένε, σῶμα,
ὅτε πρὸ βήματος
αἰκιζομένη δικαστῶν
ἐνήθλεις στερρότατα,
καταπαλαίουσα
ἀσωμάτους δυνάμεις μετὰ σώματος.

Ἡρμόσθης
ἄφθορος, ἁγνή,
τῷ τεχθέντι ἐκ παρθένου θεόπαιδος
καὶ προσενήνοχας
ὡς προῖκα τούτῳ,
μάρτυς, τὴν ἄθλησιν,
πολυειδεῖς τοὺς αἰκισμούς,
τὸν ἄδικον θάνατον·
διὸ νυμφῶνός σε
οὐρανίου ἀληθῶς κατηξίωσεν.

Χορεύεις
νῦν περιχαρῶς
σὺν ἀγγέλοις πρὸ προσώπου τοῦ κτίστου σου,
φαιδρυνομένη αὐγαῖς
ταῖς πηγαζούσαις
ἐκεῖθεν πάντοτε,
ἀλλὰ μνημόνευε ἡμῶν
πίστει ἐκτελούντων σου
μνήμην τὴν ἔνδοξον,
Γλυκερία ἀθλοφόρε πανεύφημε.

210 δυνάμεις] δυσμενεῖς Pv Vw Sc Vs 211-220 trop. om. Vs 221-230 trop. om. Pv Vw Sc, in quibus autem hoc aliud invenimus:

Ἔχουσα πτέρυγας χρυσᾶς
ἐκλαμπούσας διαυγείᾳ τοῦ πνεύματος,
μάρτυς, ἐπέτασας
διηνθησμένη θείαις φαιδρότησιν
καὶ πρὸς αὐτὰ τῶν οὐρανῶν
τὰ θεῖα σκηνώματα
ὄντως κατέπαυσας
ἀπολαύουσα τρανῶς τῆς θεότητος. (— θεώσεως Vw Vs)

hoc trop. secundum est odes θ' in Vs

θεοτ. * Σκήνωμα
γέγονας Θεοῦ,
f. 71v τὸν ἀχώρητον ἐν μήτρᾳ || χωρήσασα
καὶ τὸν πρὶν ἄσαρκον,
σεσαρκωμένον
Λόγον γεννήσασα,
ὃν ἐκδυσώπησον, ἁγνή,
πταισμάτων συγχώρησιν
πᾶσιν δωρήσασθαι
τοῖς ἐν πίστει σε ἀεὶ μεγαλύνουσιν.

231-240 θεοτ. MR I, 510 232 Θεοῦ] Χριστοῦ Vw 236 Λόγον] Χριστὸν Pv Sc Vs Θεὸν Vw Λόγον γεννήσασα] ἡμῖν γεγένηκας MR 237 ὃν νῦν ἐκδυσώπησον MR 238 τὴν συγχώρησιν Vs 239 v. om. Vs 240 ἀεὶ om. Cl

IN SANCTUM ALEXANDRUM

Synaxarium, 680-682: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ ἐκ Ῥώμης στρατιώτης ὑπὸ τὴν τάξιν Τιβεριανοῦ κόμητος. Τοῦ οὖν κόμητος σὺν τῷ οἰκείῳ αὐτοῦ τάγματι θύοντος τοῖς εἰδώλοις, οὐ κατεδέξατο θῦσαι ὁ ἅγιος Ἀλέξανδρος, ἀλλὰ καὶ τὸν κόμητα καὶ τοὺς τοῦτο ποιοῦντας ὡς ἐξεστηκότας καὶ μαινομένους καὶ πεπλανημένους καὶ τῶν κατὰ φύσιν ἐκπεπτωκότας φρενῶν καὶ δαιμόνων λατρευτὰς καὶ οὐχὶ τοῦ δημιουργοῦ Θεοῦ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ λατρευτὰς τούτους ἐκάλεσε. Ἄγεται οὖν διὰ τοῦτο πρὸς τὸν βασιλέα Μαξιμιανόν. Εἰσαχθέντος δέ, ἄγγελος θεῖος ἵστατο παραθαρρύνων τὸν μάρτυρα· καὶ τὸν Χριστὸν ὁμολογήσας ἐτύφθη σφοδρῶς. Τοῦ δὲ ἁγίου μάρτυρος κατὰ τὸν μέγαν πρωτομάρτυρα Στέφανον εἰς οὐρανοὺς ἀτενίσαντος, οὓς εἶδεν ἀνεῳγμένους καὶ τὸν Υἱὸν καθήμενον ἐκ δεξιῶν τοῦ Πατρός, καὶ λαμπρυνθέντος τὸ πρόσωπον καὶ λάμψαντος, — καὶ γὰρ πρώην ἦν ὡραῖος τὴν ὄψιν ἀγγέλῳ προσεοικώς, — μὴ δυναμένου τοῦ δυσσεβοῦς ἀτενίσαι αὐτόν, οὐκέτι αὐτὸν εἰς ἐξέτασιν ἤγαγεν, τὰ κατ' αὐτὸν ἀπογνούς, ἀλλὰ παραδοὺς Τιβερίῳ καὶ Σεβαστιανῷ ἐπάρχῳ τιμωρεῖσθαι κατὰ τὴν ὁδὸν ἀπὸ Ῥώμης μέχρι Βυζαντίου, τὸν κατὰ τῶν χριστιανῶν πόλεμον αὐτοῖς ἐγχειρίσας. Καὶ πρῶτον μὲν τῷ πυρὶ τὰς πλευρὰς κατεφλέχθη· παρηκολούθει δὲ τῷ ἁγίῳ ἡ μήτηρ αὐτοῦ Ποιμενία, προθυμοποιούσης αὐτόν. Καταλαβὼν δὲ τὴν Φιλιππούπολιν, εἰς ἀπάντησιν αὐτοῦ τῶν ἐν τῇ πόλει χριστιανῶν ἐξελθόντων καὶ τὰ δεσμὰ καταφιλούντων αὐτοῦ, ηὐχαρίστησε τῷ Θεῷ. Ἀχθεὶς δὲ εἰς Βέροιαν, ἐν τόπῳ λεγομένῳ Παρεμβολαῖς, εἰς ἐξέτασιν καταστὰς τύπτεται σφοδρῶς, ἀγγέλου αὐτὸν ἐνισχύοντος. Λείποντος δὲ ὕδατος, διὰ προσευχῆς ὁ ἅγιος ὕδωρ ἐξήνεγκεν, πολλοὺς πιστεῦσαι τῷ Χριστῷ ⟨ποιήσας·⟩ καὶ διερχόμενος ἐν Δριζιπάρῳ πόλει τῆς Θρᾴκης, ἐν τῷ παραρρέοντι γενόμενος ποταμῷ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται. Τοῦ δὲ μέλλοντος αὐτὸν ἐκτέμνειν δημίου ἀναδυομένου τὴν πρόσταξιν διὰ τὸ καθορᾶν ἀγγελικὰς δυνάμεις περὶ τὸν ἅγιον καὶ μὴ τολμῶντος τὴν ἐπιχείρησιν, μικρὸν ἀποστῆναι αὐτοῦ διὰ προσευχῆς τοὺς φρουροῦντας ἀγγέλους ποιήσας, τέμνεται τὸν αὐχένα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν Κεντουκέλλαις.

Crypt. Δ.α. IX = Cl, ff. 67v-71
Vat. gr. 2069 = Vb, ff. 195-198v

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν ᾠδὴν τῷ Θεῷ*

Δεῦτε μυστικῶς ἀδελφοί,
τῇ μυστικῇ τραπέζῃ
τὰ τῶν ᾀσμάτων τῷ μάρτυρι Χριστοῦ
προσαγαγόντες δῶρα,
ἐν αὐτῇ τὸν ὕμνον
Θεῷ προσάξωμεν
ὅτι δεδόξασθαι.

Λάμπων τῷ φρονήματί σου
ἐπὶ τῷ κάλλει, μάρτυς,
τοῦ σοῦ προσώπου ἐξέπληττες ἐχθρούς,
τῇ ὡραιότητι δὲ
τῇ τῆς πίστεώς σου
τούτων τὸ φρόνημα
ἐμείεις, ἔνδοξε.

Ποίμνης λογικῆς σε, σοφέ,
καὶ ἱερᾶς προστάτην,
μάρτυς, παρέσχεν, Ἀλέξανδρε, Χριστός,
ἀλλὰ τοὺς μόχθους τοὺς σοὺς
ἐν τῇ μάνδρᾳ ταύτῃ
τῇ θείᾳ χάριτι
σπεῦσον συντήρησον.

f. 68 ‖ ᾠδὴ γ'. *Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς*

Ὁ μαθητὴς καὶ μάρτυς τοῦ Χριστοῦ
πρὸς τὰς παρατάξεις

tit. Τῶν ἁγίων μαρτύρων Ἀλεξάνδρου καὶ Γλυκερίας   Εἰς τὸν ὄρθρον κανόνες..... codex Cl duos canones alternatis odis nobis servat, quorum alter, dicatus S. Glyceriae, inc. Πικρίας με ῥῦσαι τῆς τῶν παθῶν (cfr. pp. 140-150). Εἰς τὸν ὄρθρον κανὼν Vb

heirm. α' ΕΕ 230, n. 331, Andreae   10 ἐξέπληττε Vb

heirm. γ' ΕΕ 226, n. 324, Germani

τῶν παρανόμων ἐχθρῶν
στερρῶς ἀντιταξάμενος,
νίκης ἀνεδήσατο στέφανον.

Τῇ ἀκλινεῖ σου, μάρτυς, πρὸς τὸν Χριστὸν
καὶ ἀτρέπτῳ γνώμῃ
πᾶσαν τὴν δύναμιν
νενεκρωμένην ἔδειξας
Μαξιμιανοῦ τοῦ ἀλάστορος.

Τοὺς τῶν εἰδώλων μύστας καὶ λατρευτὰς
στηλιτεύων πίστει,
μάρτυς Ἀλέξανδρε,
τὰ βέλη τούτων ἤμβλυνας
τῇ στερεωτάτῃ καρδίᾳ σου.

f. 68v ‖ ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Σὺ μακρᾷ προσωμίλησας
ὁδῷ, τρισμάκαρ, τοῦ μαρτυρίου,
ἁγιάσας τοῖς παθήμασιν
καὶ πατρίδας πολλὰς τῇ ἐπιδημίᾳ σου.

« Εἶδον δόξαν οὐράνιον
ἡτοιμασμένην ἐνώπιόν μου
καὶ εὐφράνθη ἡ καρδία μου »
πρὸς τὸν τύραννον ἐβόας, μακάριε.

Τὴν ἐτήσιον μνήμην σου
ἐπιτελοῦντες, σὲ δυσωποῦμεν,
παμμακάριστε Ἀλέξανδρε,
τῇ πρεσβείᾳ σου σῶσον τὰς ψυχὰς ἡμῶν.

heirm. δ' ΕΕ 231, n. 331, Andreae   40 ἐπιδημίας Vb   41 ἴδον Cl ἰδόν Vb

41-44 D. P. DIMITROV, Μαρτύριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Ἀλεξάνδρου, *Bulletin de l'Institut archéologique bulgare*, 8 (1934) 148 § 10: Ἀπεκρίθη ὁ μακάριος Ἀλέξανδρος καὶ εἶπεν· Εἶδον δόξαν ἡτοιμασμένην ἔμπροσθέν μου καὶ διὰ τοῦτο εὐφράνθην καὶ ἠγαλλιάσατο τὸ πνεῦμά μου.

ᾠδὴ ε'. Ὁ ἐκ νυκτὸς ἀγνοίας

* Τῆς πολυθέου πλάνης
ἐν τῷ φωτὶ τῷ τῆς χάριτος, ἔνδοξε,
τὴν ἀχλὺν ἐμείωσας,
μάρτυς τῆς τριάδος Ἀλέξανδρε.

f. 69 ‖ Φησίν, ἐν Κρίνοις φθάσας,
ἐν τόπῳ κρίσεως ἔκρινας, μάρτυς Χριστοῦ,
τῶν ἀνόμων ἔμπροσθεν,
τὴν οἰκείαν κρίσιν γνωρίσας αὐτοῖς.

Τῇ ἀκλινεῖ σου πίστει
καὶ τῇ θερμῇ σου ἐνστάσει, μακάριε,
ἀσθενῆ ἀπέδειξας
Τριβουνιανοῦ τὰ φρυάγματα.

ᾠδὴ ϛ'. Ὡς τὸν προφήτην ἐρρύσω

Τῇ τοῦ σταυροῦ πανοπλίᾳ
ἐν θερμῇ προθυμίᾳ, μακάριε,
καθελὼν τὴν ἔπαρσιν
καὶ τὰ μηχανήματα
κατεπάτησας
τῶν παρανομούντων ἐχθρῶν.

* Τῆς σῆς ἀνδρείας τὸν τόνον
καὶ τῆς γνώμης τὸ ἄτρεπτον βλέποντες,

heirm. ε' EE 226, n. 323, Germani 49-52 trop. BMC, 150 52 Ἀλέξανδρε] Μερκούριε BMC 54 ἐν τῷ κρίσεως Vb
heirm. ϛ' EE 226, n. 323, Germani 60 φρυάματα Vb 67-72 trop. BMC, 150

53-56 D. P. Dimitrov, o.c., 150 § 14: Ἠρώτησεν δὲ Τιβερειανὸς τοὺς ὑπηρέτας αὐτοῦ λέγων· τί ὀνομάζεται ὁ τόπος οὗτος; Λέγουσιν αὐτῷ· « Κρίμα, ὃ ἑρμηνεύεται τόπος κρίσεως ». ..... Ἀπεκρίθη Ἀλέξανδρος καὶ εἶπεν αὐτῷ ..... οὐ γὰρ οἶδας ὅτι ὁ τόπος οὗτος κρίσεως ὀνομάζεται; Καὶ ἐν τούτῳ φανερόν ἐστιν, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἔρχεται ἐπί σε. Ἔρχεται γὰρ ὁ μέλλων κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, καὶ τότε ἔχεις γνῶναι τοὺς λόγους μου, οὓς νῦν λέγω πρός σε.

μάρτυς, κατεπλήττοντο
οἱ ἄνομοι τύραννοι
καὶ τὴν ἔνστασιν
καὶ τὸ ἀκλινὲς τῆς ψυχῆς.

f. 69v ‖ Ὡς στρατηγῷ σοι ὁπλίτῃ
ἀνακράζει ἡ ποίμνη σου, ἅγιε·
« μεσίτευε πάντοτε
πρὸς κύριον· ἔχεις γὰρ
παρρησίαν πολλὴν
τοῦ πρεσβεύειν ὑπὲρ ἡμῶν ».

Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε

Τῶν πόνων ἐπάξια,
μάρτυς, τὰ ἔπαθλα
ἀξίως ἀπείληφας
ἐκ τοῦ σωτῆρος Θεοῦ,
Ἀλέξανδρε ἔνδοξε,
στέφος δικαιοσύνης
καὶ ἀπόλαυσιν θείαν
ὡς ἔννομος ἀθλοφόρος
καὶ τῆς πλάνης διώκτης·
διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς
ῥῦσαι ἡμᾶς πειρασμῶν.

f. 70 ‖ *ᾠδὴ ζ'. Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι*

Παῖδας τοὺς ἐν καμίνῳ ἐμιμήσω
ἐν μέσῳ ὑπάρχων τοῦ σταδίου φαιδρός·
ὥσπερ πῦρ γὰρ ἐπάτεις

72 τὴν πρὸς βασάνους, BMC
κάθ. post oden γ' Vb includit
heirm. καθ. HR, 63
heirm. ζ' EE 227, n. 325, Joannis

79-84 Dan. 3,49-52

τυράννων τὸ φρύαγμα
καὶ ἐβόας, μάρτυς Ἀλέξανδρε·
« εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

Οὐκ ἔπτηξας ἀπειλὰς τὰς τῶν τυράννων,
λαμπάδων πῦρ οὐκ ἐδειλίασας,
θαρσαλέῳ δὲ μᾶλλον
φρονήματι ἔστηκας
καὶ ἐβόας, μάρτυς Ἀλέξανδρε·
« εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

Πᾶσαν τὴν τῶν εἰδώλων δυσφημίαν
σαφῶς ἀπεκρούσω, μάρτυς ἔνδοξε,
τῆς ἁγίας τριάδος
τῇ πίστει θαλπόμενος,
ἣν κηρύττων πόθῳ ἐκραύγαζες·
« εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν ».

f. 70v ‖ ᾠδὴ η'. *Τὸν ἄναρχον*

Τὸν πλήξαντα
τῶν τυράννων καρδίας
τοῦ μάρτυρος
τῇ εὐθάρσῳ ἐνστάσει
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Τὸν στέψαντα
τῶν ἀγώνων τοῖς ἄθλοις
τὸν μάρτυρα
καὶ σεπτὸν στεφανίτην
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

---

95 ἣν Cl
heirm. η' EE 229, n. 328, Germani 100 εὐθράσῳ Vb 103, 110,
117 vv. om. Cl

Τὸν δώσαντα
οὐρανόθεν τὴν νίκην
τῷ μάρτυρι
κατὰ τῶν παρανόμων
ὑμνεῖτε ἱερεῖς,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

f. 71 ‖ ᾠδὴ θ'. *Τὴν ἀόρατον μορφὴν*

Ἡ λαμπάς σου μυστικῶς
τῆς ἀθλήσεως πίστει
φαιδρυνθεῖσα, τὰς λαμπάδας τῆς πλάνης,
μάρτυς, ἠμαύρωσεν
ταῖς ἐλλάμψεσιν.

Ἡ ψυχή σου, ἀθλητά,
οὐρανοὺς ἐμβατεύει,
ὁ ἐπίγειος δὲ χῶρος τὸ σῶμα
ὄλβον πολύτιμον
κατεπλούτησεν.

Μνημονεύειν πρὸς Θεὸν
δυσωποῦμεν μὴ παύσῃ
ταῖς δεήσεσι τῶν πίστει τελούντων
μνήμην τὴν θείαν σου,
μάρτυς Ἀλέξανδρε.

---

heirm. θ' EE 228, n. 326, Andreae 125 ἰδὲ χωρὸς Vb χωρὸς Cl

13 MAII *CANON XVI*

IN SANCTUM ALEXANDRUM

Crypt. Δ.α. XXIX = Cm, ff. 33v-36
Reg. gr. 62 = Lq, ff. 27v-29v
Reg. gr. 65 = Lr, ff. 18-21
Paris. gr. 1566 = Pw, ff. 44-48
Jerosol. Sab. gr. 72 = Jb, ff. 84-86

Ὁ κανών. ⟨Ἰωσήφ?⟩

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

f. 34 ‖ Τῇ φωτοφόρῳ ἡμέρᾳ
τοῦ φωταυγοῦς μάρτυρος
τὸν φωτοδότην καὶ Θεὸν
μεγαλοφώνως αἰνέσωμεν
καὶ ἐκτενῶς δυσωπήσωμεν
ἅπαντες,
ὅπως ἀχλύος καὶ παθῶν
ἡμᾶς λυτρώσηται.

Υἱὸς φωτὸς καὶ ἡμέρας,
μάρτυς Χριστοῦ, γέγονας
καὶ ἐξανέτειλας ἡμῖν
ὥσπερ φωστὴρ διαυγέστατος,
πάντας φωτίζων, Ἀλέξανδρε,
πίστει σου
τοὺς ἐκτελοῦντας τὴν φαιδρὰν
ταύτην πανήγυριν.

---

tit. Μηνὶ τῷ αὐτῷ ιγ' τοῦ ἁγίου Ἀλεξάνδρου τοῦ Χιώτου Jb   Ὁ κανὼν τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου Cm   Ἕτερος κανὼν τοῦ μάρτυρος Pw   in margine nomen Ιωσηφ Pw
heirm. α' EE 106, n. 149, Andreae   3 φωτοδότη Lq   7 καὶ] τῶν Lq Lr Pw   11-16 in Lq iterantur

---

9-10 I Thes. 5,5

Ὁλοσχερῶς ἀγαπήσας
τὸν διὰ σὲ θάνατον
καταδεξάμενον σαρκί,
πρὸς τοὺς ἀγῶνας ἐχώρησας
καὶ τὰ ἐπίπονα σκάμματα
καὶ ἔτυχες
τῶν ἀθανάτων δωρεῶν,
μάρτυς Ἀλέξανδρε.

θεοτ. * Σὲ τοῦ Θεοῦ τὸ χωρίον,
τὴν νοητὴν τράπεζαν,
τὴν καλλονὴν τοῦ Ἰακώβ,
τὴν ἀδιάβατον γέφυραν
καὶ ἀδιάσειστον κλίμακα,
ἄχραντε,
αἱ γενεαὶ τῶν γενεῶν
πόθῳ γεραίρομεν.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Τοῦ παναγίου πνεύματος τῇ αἴγλῃ
αὔλως φωτιζόμενος,

17-24 Pw hoc aliud trop. praebet:
Ὑπομονῇ ἀνενδότῳ
τῶν διωκτῶν ἔθραυσας
τὰς μιαιφόνους ἀπειλὰς
καὶ τῇ πλημμύρᾳ τοῦ αἵματος
τὸν Φαραὼ τὸν ἀόρατον
ὤλεσας
σὺν τοῖς στρατεύμασι αὐτοῦ,
ἀξιοθαύμαστε.

19 καταδεξάμενος Lq   21 σκάμματα] σκαμώματα Lr   22 καὶ om. Lr   25-32 θεοτ. PG 105, 1137   26 τὴν] τὶ Lq   28 εὐδιάβατον Cm Lr Pw Jb ἐνδιάβατον Lq   29 καὶ δι' ἀδιάσειστον Lq   31 αἱ γενεές Lq   32 γεραίρουσιν Lq   μακαρίζομεν PG
heirm. γ' EE 104, n. 147, Andreae

33-38 D. P. DIMITROV, Μαρτύριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Ἀλεξάνδρου *Bulletin de l'Institut archéologique bulgare* 8 (1934) 146 § 5: Καὶ τελέσας τὸν ψαλμὸν καὶ εὐξάμενος, ἐξελθὼν ἔξω τῆς οἰκίας αὐτοῦ ὑπήντησε τοῖς στρατιώταις, οἳ καὶ ὄντες πρότερον ἑταῖροι αὐτοῦ. Ἰδόντες αὐτὸν ἐκ τοῦ φόβου κατέπεσον χαμαί· ἦν γὰρ τὸ πρόσωπον αὐτοῦ ὡς ἀστραπή.

τοῖς προσελθοῦσί σε συλλαβεῖν
ἀστραπόμορφος ὤφθης
καὶ φοβερός, Ἀλέξανδρε,
μαρτύρων ἀγλάϊσμα.

Πίστις, ἐλπίς, οὐ κράνος οὐδὲ δόρυ
καθώπλισε μαχόμενον
πρὸς ἐναντίας σε προσβολάς,
πρὸς τὰ πνεύματα τῆς πλάνης,
πρὸς βασιλεῖς καὶ ἄρχοντας,
θεόφρον Ἀλέξανδρε.

Τῆς γεηρᾶς καὶ ὄντως φθειρομένης
f. 34v στρατίας κα‖τεφρόνησας
καὶ ἐστρατεύθης τῷ βασιλεῖ
αἰωνίῳ, ἀθλοφόρε,
διὰ πολλῶν στρεβλώσεων
καὶ πόνων καὶ θλίψεων.

θεοτ. * Ὁ φοβερὸς ταῖς ἄνω στρατηγίαις
ἐν σοὶ ἀφράστως ᾤκησεν,
καθαρωτέραν σε εὑρηκὼς
ὁρατῆς καὶ νοουμένης,
ἁγνὴ παρθένε, κτίσεως·
διό σε δοξάζομεν.

---

38 μάρτυς Lq 39-44 trop. om. Lq Jb 45-50 trop. om. Lr Pw 45 γεριρᾶς (sic) Lq 46 στρατιὰς Lq στρατείας Cm 48 αἰωνίῳ] τῶν αἰώνων Lq 48-50 τῶν αἰώνων ἱκέτευε / ὑπὲρ ἡμῶν δεόμενος / τῶν πίστει ὑμνούντων σε Jb ante θεοτ. hoc trop. invenimus in Lq Lr Pw Jb:

Πόνοις μακροῖς εὐτόνως ὁμιλήσας,
πολύαθλος γεγένησαι·
καὶ νῦν τὴν ἄπονον κατοικεῖς
βασιλείαν, ἀθλοφόρε,
ὑπὲρ ἡμῶν δεόμενος
τῶν ἀεὶ (= πίστει Lr Pw Jb) ὑμνούντων σε.

51-56 θεοτ. PG 105,1137 51 ταῖς] τὶς Lq 53 σε PG 55 κτίσεως] φύσεως PG 56 μακαρίζομεν PG

post oden γ´ hoc κάθ. legimus in Pw: idem Lq Lr Jb canoni anteponunt:

ἦχος πλ. δ´. *Τὴν σοφίαν τοῦ Λόγου*
Νεανίας τῷ ὄντι περικαλλής,
στρατιώτης τοῦ Λόγου περιφανὴς
δειχθείς, τὰ στρατεύματα
τοῦ ἐχθροῦ ἐξηφάνισας

ᾠδὴ δ´. *Εἰσακήκοα ὁ Θεὸς*

Εἰκονίζων τὸν διὰ σὲ
σταυρῷ παγέντα,
ἀνηρτημένος
τοὺς ξεσμοὺς φέρεις τοῦ σώματος,
τραυματίζων δαίμονας
καὶ τὴν φθοράν, σοφέ, ἐκδυόμενος.

Τῶν αἱμάτων τοῖς ὀχετοῖς
θαλάσσας, μάρτυς,
τῆς ἀπιστίας
κατακλύσας, ὤφθης πέλαγος
τοῖς πιστοῖς ἰάσεων,
τὴν τῶν παθῶν ξηραίνων ἐπίρροιαν.

Ὥσπερ ἥλιος ἐκ δυσμῶν
ἐφάνης, μάρτυς,

τοῦ σταυροῦ τῷ ὅπλῳ
καὶ νίκης διάδημα, (διαδήματι Lq)
κορυφὴ τιμία,
ἐδέξω, Ἀλέξανδρε·
ὅθεν διὰ ξίφους
ἐκτμηθείς σου τὴν κάραν,
ἡνώθης σου τῷ ἔρωτι (τῷ κτίστῃ σου Lr)
τελεώτερον, ἔνδοξε,
ἀθλητῶν ἐγκαλλώπισμα,
πρέσβευε Χριστῷ <τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν μνήμην σου>.
et θεοτ. Τὸν ἀμνὸν καὶ ποιμένα
καὶ σωτῆρα τοῦ κόσμου HR, 94

heirm. δ´ ΕΕ 107, n. 150, Andreae 58 παγέντα] ταθέντα Lq Lr Pw Jb 63-68 trop. om. Lq Jb

---

63-68 D. P. Dimitrov, o.c., 159 § 32: Ποιῶν τε θαυμάσια μεγάλα ὁ ἅγιος Ἀλέξανδρος βοηθεῖ τοῖς καταπονουμένοις καὶ τοῖς ἐν μακρονοσίᾳ ἴασιν παρέχει διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἧς ἔλαβε παρ᾽ αὐτοῦ.

φωτὶ τῶν ἄθλων
καταυγάζων τὴν ὑφήλιον
καὶ ἐλαύνων χάριτι
τὴν πονηρὰν τῆς πλάνης σκοτόμαιναν.

θεοτ. * Ἡ λαμπὰς τοῦ θείου φωτός,
ἡ ἀνωτέρα
τῶν ποιημάτων,
ἡ τὸν ἄνθρωπον θεώσασα
ὡς Θεὸν κυήσασα,
ἡ θεοτόκος κόρη δοξάζεται.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

Ἐκ δύσεως ἀστέρα σε
ὁ ἥλιος ἀνέδειξεν,
φωταγωγοῦντα τὴν ἑῴαν,
σκοτίζοντα τὴν πλάνην
καὶ υἱὸν δεικνύμενον
καὶ φωτὸς καὶ ἡμέρας,
ἀθλοφόρε τοῦ Χριστοῦ.

Λαμπάσιν αὐγαζόμενος
τοῦ πνεύματος, Ἀλέξανδρε,
καὶ τῇ αὐτοῦ θέρμῃ πυρούμενος,
f. 35 γενναίως τὰς λαμ||πάδας
τοῦ πυρὸς ὑπέφερες,
φλέγων ἐν τῷ φλέγεσθαι
πλάνης ὕλην ἀληθῶς.

---

ante θεοτ. hoc trop. leges in Lq Jb:
Ὡς ὁ Παῦλος διὰ Χριστὸν
ἁλύσει, μάκαρ,
προσδεδεμένος,
δρόμον ἤνυσας τῆς πίστεως
καὶ σαυτὸν συνέδησας
τῇ τοῦ Θεοῦ στοργῇ τελειότερον.

75-80 θεοτ. PG 105,1137 76 ἡ ἀνωτέρα πάντων, PG ἡ om. Lq 80 κόρη om. PG δοξάζουσα Lq

heirm. ε' EE 106, n. 149, Andreae 82 ὁ] ὡς Pw 87 ὦ ἀθλοφόρε Lq 88 Ἰλαμπάσι (sic) Lq 93 τῷ] τὶ Lq

---

88-94 I Thes. 5,5

Ὡς δάμαλις καλλίτεκνος
ἀγγέλου εἰσηγήσεσιν
ἡ σὲ τεκοῦσα ἠκολούθει σοι,
ὁρῶσά σου τοὺς ἄθλους,
ἕως εἰς τὴν μάνδραν σε
εἶδεν εἰσερχόμενον
τοῦ ποιμένος τοῦ καλοῦ.

θεοτ. * Ἀνάτειλόν μοι, δέσποινα,
ἀκτῖνα θείας γνώσεως,
τῷ ἐν τῷ σκότει τῆς ἀγνοίας
δεινῶς συνεχομένῳ
καὶ πρὸς φῶς ὁδήγησον
μετανοίας, ἄχραντε,
πύλη οὖσα τοῦ φωτός.

ᾠδὴ ς'. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Τριβόλοις
ἐκκεντούμενος ὀξέσιν,
τὰ κέντρα συνέτριψας
τῆς ἀθεΐας, παμμάκαρ,

---

97 ἠκολούθησις (sic) Lq 102-108 θεοτ. PG 105,1137 103 ἀκτῖνας Jb 104 σκότῳ τῆς ἀγνωσίας PG 105 συνεχόμενων Lq

heirm. ς' EE 107, n. 150, Andreae hoc ordine trop. in Lq Lr Pw Jb disposita sunt: III, I, II, IV

95-101 D. P. DIMITROV, o.c., 148 § 11: Ἄγγελος δὲ Κυρίου κατ' ὄναρ ἐπέστη τῇ μητρὶ αὐτοῦ λέγων· « Ἐγέρθητι, Ποιμενία, ἐν τάχει καὶ ἑτοίμασον τοὺς παῖδάς σου καὶ τὰ ζῷα, μηδὲν λυπουμένη ἐν τῇ ψυχῇ σου, καὶ ἀκολούθησον τῷ υἱῷ σου· μέλλει γὰρ τελεῖν τὸ μαρτύριον τῆς ὁμολογίας Χριστοῦ. Καθὼς οὖν προεῖπόν σοι, μὴ λυπηθῇς ἕως οὗ ἴδῃς τὸν προκείμενον αὐτῷ τόπον ». Ἡ δὲ μήτηρ τοῦ μακαρίου Ἀλεξάνδρου ἀκούσασα παρὰ τοῦ ἀγγέλου τοὺς λόγους τούτους ἐχάρη σφόδρα καὶ ἐγερθεῖσα καθὼς εἶπεν αὐτῇ ὁ ἄγγελος ἠκολούθησε τῷ υἱῷ αὐτῆς εἰς τὴν ὁδόν.

109-115 D. P. DIMITROV, o.c., 150 § 15: Τότε Τιβερειανὸς ταῦτα ἀκούσας ὠργίσθη μεγάλως καὶ ἐκέλευσε τριβόλους σκορπισθῆναι ἐπὶ τὴν γῆν καὶ ῥιφῆναι τὸν ἅγιον Ἀλέξανδρον ἐπάνω αὐτῶν καὶ συρῆναι.

99-101 Joh. 10,11

καὶ ἀνδρείας τοῖς βέλεσιν
ἐχθροὺς κατέτρωσας ἀνόμους,
μεγαλομάρτυς Ἀλέξανδρε.

Στήριγμα
καὶ κραταίωμα καὶ ὅπλον
καὶ ῥάβδον δυνάμεως
σταυρὸν κατέχων τὸν θεῖον,
ἐν τῷ τύπτεσθαι ῥάβδοις
ἀφειδῶς ὑπέφερες γενναίως,
κλέος μαρτύρων Ἀλέξανδρε.

Βασάνων
διαπλεύσας τρικυμίαν
ταῖς αὔραις τοῦ πνεύματος,
πρὸς θείους ἤχθης λιμένας
καὶ ἐρρύσθης θηρὸς τοῦ νοητοῦ,
καλῶς ἐλλιμενίσας
τὸ τῆς ψυχῆς σου ἀγώγιμον.

θεοτ. * Σῶσόν με
ἡ τεκοῦσα τὸν σωτῆρα,
βυθὸς συνταράσσει με
ἀμέτρων ἁμαρτημάτων
καὶ χειμάζει με κλύδων ἡδονῶν
καὶ ζάλη τῶν πνευμάτων
f. 35v τῆς πονη||ρίας ἐκθλίβει με.

ᾠδὴ ζʹ. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

Πῦρ ἀπετέφρωσας πλάνης
τῇ δρόσῳ τῶν πόνων σου
καὶ λαμπάσι φλεγόμενος,

113 τοῖς om. Pw 114 ἐχθρου Jb 121 ὑπέφερες] ὑπερφυὲς Lq ἐνλιμένας Jb 129 τὸ] τὰ Lr Pw σου om. Lq ἀγώγιμον] ἀγώγημα Lr Pw Jb ἀξίωμα Lq 130-136 θεοτ. PG 105, 1137 132 βυθῷ συνταράσσης με Lq βυθὸς γὰρ συνταράσσει με PG 133 ἀμέτρων om. PG 134 με om. Lq κλύδωνω (sic) Lq κλυδώνιον PG 135 πνευμάτων] πταισμάτων Lr Pw
heirm. ζʹ EE 101-102, n. 143, Cosmae

ὡς ὕλην κατέφλεξας
τὴν φρυγανώδη ἀπάτην
τῶν ἐχθρῶν, θεομάκαρ,
λαμπτὴρ τῆς ἐκκλησίας.

Ὕδωρ ἀλλόμενον ἔχων
τὸν πόθον τοῦ κτίστου σου
ἐν καρδίᾳ, θεόπνευστε,
πηγὴν ζῶντος ὕδατος
ἐκβλύσαι παρεσκεύασας
προσευχῶν ἐπομβρίᾳ,
Ἀλέξανδρε παμμάκαρ.

Δένδρον ὑψίκομον ὤφθης
καρποῖς εὐθηνούμενον
χαρισμάτων τοῦ πνεύματος
καὶ πάντας τοὺς πίστει σοι
προσιόντας, Ἀλέξανδρε,
ἐκ φλογμοῦ ἁμαρτίας
ἐνθέως συσκιάζεις.

θεοτ. Ἡ ἀδιόδευτος πύλη,
ἡ στάμνος ἡ πάγχρυσος,
ἡ λυχνία καὶ τράπεζα,
τὸ ὄρος τὸ ἅγιον,
ἡ φωτοφόρος νεφέλη,
ὁ πυρίμορφος θρόνος
ὑμνείσθω, ἡ παρθένος.

ᾠδὴ ηʹ. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Θριαμβεύων ὡς ἀριστεὺς
τὰ στίγματα, τοὺς πόνους τοὺς μακρούς,
τὰς ἀλγηδόνας, τοὺς ξεσμούς,

141 ἀπάτην] ἄπασαν Jb 142 θεομακάριστε Lr 144 ὑπεραλλόμενον Lq Jb 148 ἐκβλύσει Lq 150 παμμακάριστε Lq 151 Δέδρον Lq 156 φλογοῦ Lq 157 συσκιάζοις Lq 159 πάχρυσος Lq
heirm. ηʹ EE 107, n. 150, Andreae 167 ἀληδόνας Lq

144-150 Joh. 4,14

τὴν ἀνδρείαν καὶ καρτερίαν,
ἐκ πόλεως πόλιν
διατρέχεις, Ἀλέξανδρε ἔνδοξε,
ἕως εἰς τὴν ἄνω
μητρόπολιν εἰσῆλθες.

Τῶν μαρτύρων ἡ καλλονή,
τὸ ἄμωμον ἀρνίον τοῦ Χριστοῦ,
ὁ ἐθελόθυτος ἀμνός,
τὸ εὐπρόσδεκτον ἱερεῖον,
μαρτύρων ἡ στήλη,
τῶν παθῶν τοῦ κυρίου ἐκσφράγισμα
ὕμνοις εὐφημείσθω,
Ἀλέξανδρος ὁ μέγας.

f. 36 ‖ Ῥωμαλέως φέρων, σοφέ,
τὸ τύπτεσθαι ῥοπάλοις ἀφειδῶς,
οὐκ ἐξηρνήσω τὸν Χριστόν,
οὐκ ἐφρόντισας τῶν βασάνων,
ὢ γνώμης βεβαίας,
ὢ ψυχῆς στερροτέρας ἀδάμαντος,
δι' ἧς κατῃσχύνθη
ἐχθρὸς εἰς τοὺς αἰῶνας.

θεοτ. * Ἐξ αἱμάτων σου ἱερῶν
σεσάρκωται ὁ πάντων πλαστουργὸς
καὶ σοῦ προῆλθεν ἐκ γαστρός,
σὲ παρθένον διαφυλάξας,
ὢ θαῦμα θαυμάτων,
ὢ καινῶν μυστηρίων φανέρωσις
ἐν σοὶ πεπραγμένων,
ἁγνή, εἰς τοὺς αἰῶνας.

169 πόλιν] πάλιν Cm 170 Ἀλέξανδρε ἔνδοξε] ἀνδρείως Ἀλέξανδρε Lr Pw ἔνδοξε] ὅσιε Lq 172 εἰσῆλθεν Jb 174 Χριστοῦ] Θεοῦ Lr Pw τοῦ Χριστοῦ om. Lq 175-176 vv. om. Lq 177 τῶν μαρτύρων Lr 178 τῶν παθῶν om. Lr κυρίου ἐκσφράγισμα] Χριστοῦ τὸ ἐκσφράγισμα Lq Lr Pw Jb 182 τὸ] τοῦ Lq 184 ἐνφρότισας Lq 189-196 θεοτ. PG 105, 1140 189 ἱερὸς Lq 190 ὁ πλαστουργὸς ὁ πάντων PG 192 παρθένε Lq 196 ἁγνὴ] εἰς πάντας PG

169-172 Gal. 4,22; Hebr. 12,22

ᾠδὴ θ'. *Ὅτι ἐποίησέν μοι*

Τμηθείς σου διὰ ξίφους
τὴν τοῦ σώματος κεφαλήν,
τῇ πάντων προσηνέχθης κεφαλῇ,
διακόψας κεφαλὰς
τῶν παρανόμων, ἀθλητά,
ξίφει ἀνδρείας τῆς σῆς.

Ἐνίκησας τοῦ σκότους
τὸν προστάτην, μάρτυς σοφέ,
ἐχώρησας πρὸς ἄδυτον αὐγήν,
ἐχρημάτισας Θεὸς
ταῖς πρὸς τὸ φῶς τῶν ἀγαθῶν
ἐξομοιώσεσιν.

Συνόμιλος ἀγγέλων,
ἰσοστάσιος προφητῶν,
μαρτύρων, ἀποστόλων γεγονώς,
ἔνθα ἦχος καθαρὸς
ἑορταζόντων κατοικεῖς,
μάρτυς Ἀλέξανδρε.

θεοτ. Ὅτι Θεὸς ἐτέχθη
ἐκ τῆς σῆς, παρθένε, γαστρός,
ὑμνοῦμεν γενεῶν σε γενεαί,
οἱ σωθέντες διὰ σοῦ
καὶ μακαρίζομεν, ἁγνή,
εἰς τοὺς αἰῶνας· ἀμήν.

heirm. θ' ΕΕ 106, n. 149, Andreae 199 προηνέχθης Jb κεφαλὴν Lq Lr 203-208 trop. om. Jb 203 τοῦ] τοὺς Lq 204 μάρτυς] πάτερ Pw 207 ταῖς πρὸς τὸ πρῶτον ἀγαθὸν Lr Lq Pw 208 ἐξομιῶθεσιν (sic) Lq 209 ἀγγέλων] ἐγένου Lq 210 ἰσοστασίως Lq ἰσοστάσια Lr ante θεοτ. in Pw Jb legimus trop.:

Τὸ ποίμνιόν σου τοῦτο
ἀπὸ πάσης σῶζε φθορᾶς,
ναοὺς ἡμᾶς δεικνύων τοῦ Θεοῦ,
τοὺς τῷ θείῳ σου ναῷ
προσκαρτεροῦντας καὶ τὴν σὴν
μνήμην τελοῦντας, σοφέ.

215 ἐτέχθης Lq 216 παρθενίας Lq 217 γενεαί σε γενεῶν Lq Lr Pw Jb 220 ἀμὴν om. Lq

IN SS. SERGIUM ET ALEXANDRUM

Synaxarium, 682: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σεργίου τοῦ ὁμολογητοῦ. Ὃς γένους ὑπάρχων ἐνδόξου καὶ μεγάλου, ἐν Κωνσταντινουπόλει γεννηθείς, προσκυνητὴς τῶν θείων καὶ σεπτῶν εἰκόνων ⟨ἐγνωρίζετο.⟩ Παρίσταται οὖν τῷ διώκτῃ καὶ ἀθέῳ βασιλεῖ Θεοφίλῳ· καὶ σχοινίοις δεσμεῖται περιαυχένιος, καὶ ἐπὶ τῆς ἀγορᾶς ἄγεται καὶ περιάγεται ὡς κακοῦργος· εἶτα φυλακῇ παρεδόθη. Καὶ στερηθεὶς πλούτου πλείστου πανοικὶ σύναμα τῇ γυναικὶ Εἰρήνῃ καὶ τοῖς τέκνοις ὑπερορίζεται· ἔνθα πολλὰς θλίψεις καὶ ποικίλους πειρασμοὺς ὑπομείνας πρὸς Κύριον ἐξεδήμησεν.

Mess. gr. 121 = Mh, ff. 171v-174

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*

Μαρτυρικοῖς
αἵμασι περισταζόμενος,
τὸν μολυσμὸν ἀπόσμιξον
τῶν ἐγκλημάτων μου,
ἐπιστάξας ῥανίδα
ἐλαίῳ συγκραθεῖσαν
φιλανθρωπίας Θεοῦ.

Ἐν φυλακαῖς,
ἐν ἐξορίαις, ἐν θλίψεσιν

tit. Τοῦ ἁγίου Σεργίου τοῦ ὁμολογητοῦ καὶ μάρτυρος καὶ τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου
heirm. α' EE 37-38, n. 51, Cosmae

8-14 Eph. 4,22-24

ἀνεχωνεύθης, Σέργιε,
καὶ ἀποθέμενος
τὸν Ἀδὰμ τὸν φθαρέντα,
τὸν νέον ἐμορφώθης
Ἀδὰμ τῆς χάριτος.

Τὰ ἐπὶ γῆς,
δόξαν καὶ πλοῦτος καὶ γένος λαμπρὸν
καὶ τῆς πατρίδος μέγεθος
ῥίψας εἰς ἔδαφος,
πρὸς οὐράνιον λῆξιν
ἀνῆλθες μαρτυρίου
δρόμῳ φερόμενος.

Θεοῦ χειρὶ
ἀνεξικάκῳ φρουρούμενος
f. 172 περιφα||νῶς, Ἀλέξανδρε,
νόσον ἐξέφυγες
ἀσεβείας ἐμφρόνως,
ψυχῆς τὴν εὐεξίαν
πίστει τηρῶν ἀσινῆ.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς ἐν σοί, κύριε,*

Ἐγγράψας τὸν Χριστὸν ψυχῆς τοῖς πίναξιν
ὀξείᾳ
γραφίδι τῆς θεωρίας
καὶ τοῖς χρώμασι γραφόμενον,
εὐσεβῶς προσεκύνεις, σοφὲ Σέργιε.

Ἐξέλιπον ἐχθροῦ τὰ μηχανήματα
στερροῖς σου
τοῖς ἄθλοις ἀποκρουσθέντα,
καὶ ἐπλήθυνας τὰ τρόπαια
κατὰ τῆς δυσσεβείας τῷ λαῷ τοῦ Θεοῦ.

heirm. γ' EE 39, n. 53, Cosmae

29-33 cfr. II Cor. 3,2-3

Τυράννων ἀφειδῶς ξεόντων σάρκας σου,
ἐλπίδι
τῆς θείας ἐπαγγελίας
τὸ πικρὸν τῶν ἀλγηδόνων, σοφέ,
ἀπολαύσει γλυκείᾳ διελάνθανες.

Ἐδόξασε Θεὸς καὶ κατελάμπρυνεν
ἀρρήτῳ
τὸ πρόσωπόν σου τῇ δόξῃ,
καὶ ἀνέδειξεν, Ἀλέξανδρε,
φοβερόν σε διώκταις καὶ τοῖς δαίμοσιν.

ᾠδὴ δ'. *Ὑμνῶ σε·*
ἀκοὴν γάρ, κύριε,

Κοσμήσας
ἀρετῶν τοῖς ἄνθεσιν
καὶ ἰδέαις κατορθωμάτων
τὴν σὴν ψυχὴν ἔδειξας
φυλάττουσαν τὸ κατ' εἰκόνα·
διὸ τῆς ἐν χρώμασιν εἰκόνος Χριστοῦ
ὡς συγγενοῦς προσθνήσκειν κατηξίωσαι.

Οἱ ὄμβροι
τῶν σεπτῶν αἱμάτων σου
κατακλύζοντες τὰς αἱρέσεις,
ἀρδεύουσιν, Σέργιε,
τοὺς αὔλακας τῆς ἐκκλησίας,
ἐξ ὧν οἱ πιστοὶ πολύχους δρέπονται
τῆς εὐσεβείας στάχυς σὲ δοξάζοντες.

Γενναίως
τὰς βασάνους ἤνεγκας,
τὰς δημεύσεις, τὰς μαστιγώσεις,

heirm. δ' EE 38, n. 51, Cosmae

49-55 cfr. Col. 3,9-10

τὰς φυλακάς, δόξης τε
καὶ πόλεων ὑπερορίας,
στερρὸν ἀντιτάξας σου τὸ φρόνημα
τῆς εὐσεβείας, Σέργιε πολύαθλε.

f. 172v || Ὡραῖον
τῇ ψυχῇ, κατάλληλον
τῆς μορφῆς σου τὸ εἶδος ἔχων
λαμπρότερον στίγμασιν
ὡράϊσας τοῖς τῶν ἀγώνων,
Χριστὸν τὸν ἐν κάλλει ὡραιότατον
ὑπὲρ υἱοὺς βροτῶν κηρύττων, ἔνδοξε.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Ῥήματα πράξεων
καὶ ἐγκωμίων οἱ θεσμοὶ ἥττηνται
ἄθλων τῶν σῶν,
ἀλλ' ἱλεώσει οἷς
τῷ πόθῳ τὸ λοιπόν,
ἀντιταλαντεῦον τοῖς σὲ μακαρίζουσιν.

Πλοῦτον οὐράνιον
περιβαλλόμενος λαμπρῶς, Σέργιε,
τὸν ἐπὶ γῆς
χαίρων τοῖς τυράννοις
ἀπέθου καὶ κοῦφος
τὸ τοῦ μαρτυρίου διήνυσας στάδιον.

Καταξεόμενος
τῆς διανοίας τὸ στερρὸν ἵδρυνας
καὶ διωκτῶν
λεπτύνας ἐλπίδας
εἰς ἀμηχανίαν,
τῶν διωκομένων ἐκράτυνας φρόνημα.

74 τοὺς
heirm. ε' EE 38, n. 51, Cosmae 80 ἧς 81 τῷ] τὸ λίπον

Πάντων γηΐνων τερπνῶν
ἀπορραγεὶς ὑπὲρ Χριστοῦ ἔσπευσας
μόνον αὐτόν,
μάρτυς, ἀντὶ πάντων
ἐμφρόνως κερδίσαι,
πρὸς ὃν μετὰ δόξης μετέβης, Ἀλέξανδρε.

ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Τὸν ζυγὸν τὸν ἐν βίῳ ἀράμενος,
εἵλκυσας σαυτὸν ἐν θεσμοῖς τοῖς τοῦ πνεύματος
καὶ τὸν ἀρχαῖον δράκοντα
ἐν δεσμοῖς συζυγίας ἀπέπνιξας.

Τοὺς ἐκ σπλάγχνων σου φύντας πατρῴᾳ στοργῇ
καὶ μαρτυρικῇ σου πρεσβείᾳ ἀνάδειξον
ὥσπερ υἱοὺς τῆς πίστεως
οὕτω καὶ κληρονόμους τῆς δόξης σου.

Πυρωθεὶς ἀγαπήσει τοῦ κτίσαντος,
τὰς ἐν ταῖς βασάνοις πυρώσεις τοῦ σώματος
τοῦ πυρπολοῦντος ἔρωτος
ὥσπερ δρόσον εὑράμενος ἔχαιρες.

f. 173 || Ἐξ ἀβύσσου τῆς πλάνης ἀπήμαντος
ὥσπερ Ἰωνᾶς ἀνεσώθης, Ἀλέξανδρε,
καὶ πρὸς λιμένας ἔφθασας
σωτηρίους σταυρῷ κυβερνώμενος.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Ἠλίας τὸ πῦρ
ἐκ τοῦ ὕδατος ἀνάψας καταφλέγει

96 εὔπευσας
heirm. ϛ' ΕΕ 34, n. 46, Joannis 102 αὐτὸν
heirm. ζ' ΕΕ 39, n. 53, Cosmae

113-116 Jon. 2,1-2 117-123 III Regn. 18,30-40

τῆς δυσσεβείας τὴν ἀπόνοιαν,
σὺ δὲ τοῖς ὄμβροις τῶν ἄθλων σου
πῦρ ὀρθοδοξίας ἀνάψας,
αἱρετικῶν ἀπετέφρωσας
τὴν τυραννίδα, τῶν πιστῶν θάλπων φρονήματα.

Δεσπότου χερσὶν
ζωγραφούμενος σταυρὸς ὁ ζωηφόρος
ἐκτεταμέναις εἰς ἀναίρεσιν
τῆς ἁμαρτίας ἐκήρυττες,
γράφειν τῆς μορφῆς τὴν εἰκόνα
καὶ προσκυνεῖσθαι καὶ γράφεσθαι·
συναναιρεῖται γὰρ αὐτῇ καὶ συνδοξάζεται.

Θυσία δεκτὴ
ἡ θυσία σου Θεῷ προσαγομένη,
ἐπουρανίοις δεξιοῦταί σε
ταῖς ἀπολαύσεσιν, Σέργιε·
πίστιν γὰρ ἀγάπῃ συνδήσας
καὶ τὴν ἐλπίδα ἐν αἵματι,
ὁμολογίας ἀκλινοῦς ἐκαλλιέρησας.

Πυρὶ πειρασμῶν
καὶ ποικίλων αἰκισμῶν χωνευτηρίῳ
πεπυρωμένος, ὡς ἀργύριον
ἑπταπλασίως ἐξήστραψας
καὶ ὥσπερ χρυσὸς ἐν καμίνῳ
ὀβρυζότερος γέγονας,
δεικνὺς τὸ δόκιμον τῆς σῆς ψυχῆς, Ἀλέξανδρε.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ταῖς τῶν αἱμάτων σου ῥοαῖς
τὴν στολὴν τῆς ἐκκλησίας πορφυρώσας,
λαμπροτέραν εἰργάσω,

120 σοὶ 122 αἱρετικὸν 128 γράφη 132 Θεοῦ 135 ἀγάπην
heirm. η' ΕΕ 35, n. 47, Joannis 146 πορφορώσας

135-137 I Cor. 13,13

διαποικίλας αὐτὴν
τοῖς ἄθλοις,
ταῖς νίκαις, τοῖς δόγμασιν
τῆς ὀρθοδοξίας,
σοφὲ Σέργιε μάρτυς.

Τοῖς τῶν βασάνων αἰκισμοῖς
f. 173v ἀνορύττοντες τὸ ‖σῶμα, ἐπεχείρουν
ἐξελεῖν τῆς ψυχῆς σου
τοὺς ἐν τῇ πίστει βλαστούς,
ἀλλ' αὐτὸς
ἀρδόμενος αἵματι
τῷ τῆς μαρτυρίας,
ἐδείκνυς βαθυτέρους.

Ἡ τῶν μελλόντων ἀμοιβὴ
ἐν προσκαίροις ταῖς τιμαῖς προτυπουμένη,
τὴν σορὸν τῶν λειψάνων
ὑπερορίου φυγῆς
παλάμαις
πιστῶς βασιλεύοντος
καὶ ἀρχιερέων
χερσὶν ἀνακομίζει.

Τοὺς τῶν λαμπάδων φλογμούς,
τοὺς τῶν ῥάβδων συντριμμούς, τοὺς τῶν ξυστήρων
σπαραγμοὺς καὶ τριβόλων
τοὺς αἰκισμοὺς καρτερῶς
ὑπέστης,
τῶν παίδων, Ἀλέξανδρε,
μέλπων εὐχαρίστως
τῷ δεσπότῃ τὸν ὕμνον.

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Ἡ τυραννὶς μὲν τὸ σῶμα
ταῖς πληγαῖς ἠροτρία

154 τῶ 163 λειμψάνων
heirm. θ' EE 34-35, n. 46, Joannis

βαθύνουσα τοὺς πόνους, ἀλλ' αὐτὸς
† ἄγπαγμα † θέμενος τοῦτο σαυτῷ,
εἰς σπορὰν καρτερίας
τοὺς στάχυς νῦν θερίζεις ἐν χαρᾷ,
ἀενάως ἐκτρέφων
τὴν ἐκκλησίαν, Σέργιε.

Ἐν διωγμοῖς, ἐν βασάνοις,
ἐν τῇ πίστει προσλάμπων,
ἐν πάσαις ἀρεταῖς εὐδοκιμῶν,
ἐν τῇ ἐλπίδι τοῦ μέλλοντος,
τὰς ἀρχὰς θριαμβεύεις
τοῦ σκότους καὶ τὰς ἐξουσίας, καθαίρων
ἐπαιρόμενον ἅπαν
τῆς δυσσεβείας ὕψωμα.

Ἐν τῷ τοῦ Λόγου καλάμῳ
τοῦ σεπτοῦ μαρτυρίου
τοὺς ἄθλους ἐξαψάμενος, σοφέ,
τοὺς ἐν θαλάσσῃ τῆς πλάνης ποτὲ
ἁλιεύσας, ἐκεῖθεν
ἀνείλκυσας θυσίαν λογικὴν
εἰς ὀσμὴν εὐωδίας
κυρίῳ προσφερόμενος.

Πᾶσαν βασάνων ἰδέαν
ἀνδρικῶς ὑπομείνας
f. 174 ‖ καὶ θαύμασιν ἐκπλήξας τοὺς ἐχθροὺς
καὶ τῇ στερρᾷ καρτερίᾳ σου
κατὰ κράτος νικήσας
τὴν τούτων ὑπερήφανον ὀφρύν,
πρὸς Χριστὸν στεφηφόρος
ἀνέδραμες, Ἀλέξανδρε.

180 ἄγπαγμα quandam speciem metalli significare videtur.

193-200 cfr. Matth. 27, 48; Eph. 5,2

IN SANCTUM ACHILLIUM METROPOLITAM LARISSAE

Synaxarium, 686*: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀχιλίου μητροπολίτου Λαρίσσης τοῦ θαυματουργοῦ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, ἐξ εὐσεβῶν γεννητόρων φὺς καὶ ἀναδοθείς, δι' ὧν εὐσέβειαν ἄκραν καὶ θεοσέβειαν μετὰ τῶν ἔξωθεν μαθημάτων καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐκπαιδεύεται, πάσαις δὲ ταῖς κατὰ Θεὸν πολιτείαις ἑαυτὸν κατακοσμήσας, ἀρχιερεὺς τῆς δευτέρας Θετταλίας ἐν τῇ Λαρισσαίων παρὰ πάντων τῶν τὴν Ἑλλάδα κατοικούντων ἀναγορεύεται. Καὶ ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ γενόμενος τὸν Ἄρειον καὶ τοὺς σὺν αὐτῷ καθελὼν ἀναθέματι παραπέμψας ἐθαυμαστώθη· αὖθις εἰς Λάρισσαν ἔρχεται καὶ ναοὺς εἰδωλικοὺς πλείστους καταστρεψάμενος καὶ δαίμονας ἐξ ἀνθρώπων διώξας καὶ ἄλλα πάμπολλα θαύματα κατεργασάμενος ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπεν, εὐκτηρίους οἴκους ἐκ βάθρων αὐτῶν ἀνεγείρας καὶ παντοίως κατακοσμήσας.

Crypt. Δ.α. IX = Cl, ff. 77-79v
Vat. gr. 2069 = Vb, ff. 198v-200v
Crypt. Δ.α. XVI = Ci, ff. 49-51v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀχιλλίου με ἡ χάρις φωτιζέτω τὸν ξένον.
⟨Ἐν τοῖς θεοτοκίοις· Ἀρσένιον⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Ἀΐδιε ἄναρχε,
ὁ φῶς οἰκῶν τὸ ἀπρόσιτον,
Θεὲ τρισυπόστατε,

* In die 15 maii

tit. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀχιλλίου μητροπολίτου Λαρίσσης Cl Vb   Μηνὶ φεβρουαρίῳ η' τοῦ ἁγίου Ἀχιλλίου Ci   Εἰς τὸν ὄρθρον ὁ κανών..... Vb — acr. om. Vb

heirm. α' EE 99, n. 141, Joannis   2 ὁ om. Vb

1-3 I Tim. 6,16

καθικετεύω σε
ὁ οἰκέτης σου
παθῶν μοι ῥῦψιν δοῦναι
καὶ λόγον ὑμνῆσαί σου
τὸν ἱεράρχην πιστῶς.

Χάριν κομισάμενος
πρὸς τοῦ Θεοῦ, πάτερ ἔνδοξε,
ὡς καὶ παριστάμενος
τῷ θείῳ θρόνῳ αὐτοῦ
ἐξαιτήσαις μοι
πταισμάτων τὴν συγγνώμην
καὶ λόγον ἐπάξιον
τοῦ ἀνυμνῆσαί σε.

Ἱερῶς τὸν βίον σου
κοσμήσας, μάκαρ Ἀχίλλιε,
τὴν τῆς ἱερωσύνης
στολὴν ἐνδέδυσαι,
τὴν οὐράνιον,
ὡς Ἀαρὼν τὸ πάλαι
θυσίαν ἀναίμακτον
δεκτὴν προσφέρων Θεῷ.

Λαμπτὴρ παμφαέστατος
ἐδείχθης, πάτερ Ἀχίλλιε,
φωτίζων τὰ πέρατα
ὀρθοδοξίας φωτὶ
καὶ ἀπελαύνων
ἀχλὺν τῆς ἀθεΐας
καὶ πάσης αἱρέσεως
δεινὴν σκοτόμηναν.

θεοτ. Ἀνατολὴ πέφυκας
τοῦ νοητοῦ, ἀπειρόγαμε,
ἡλίου· καὶ γὰρ ἐκ σῆς

5 ὁ σὸς οἰκέτης Ci   8 ἱεράρχην] θυηπόλον Ci   14 συγγνώμην] ἄφεσιν Ci   21-22 Ἀαρὼν πάλαι / ὑπέρτερα ὑψόθεν Ci   32 σκοτόμην Vb

17-24 Ex. 28,1-4

νηδύος ὡς ἐκ παστοῦ
προελθὼν Χριστός,
ἐφώτισεν ὡς οἶδεν
πᾶσαν τὴν ὑφήλιον
θεογνωσίας φωτί.

ᾠδὴ γʹ. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

Λειτουργόν σε θείων μυστηρίων
πνεῦμα τὸ πανάγιον, σοφέ,
ὁριστικῶς ἠφόρισεν
ὡς Παῦλον τὸν ἀπόστολον,
καὶ ἱερόν σε κήρυκα
τῆς ἐκκλησίας ἀνέδειξεν.

Ἰθύνων τῷ οἴακι τῶν λόγων
καὶ τρόπων, Ἀχίλλιε σοφέ,
τὴν ἐκκλησίαν ἄριστα,
πρὸς τὸν λιμένα ὥρμισας
τῆς βασιλείας, ὅσιε,
ὡς ναῦν Χριστοῦ, παμμακάριστε.

Οὐκ ἔδει σε κρύπτεσθαι μοδίῳ
τὸν λύχνον φωσφόρον τοῦ Θεοῦ,
f. 77v ‖ ἀλλ᾽ ἐν λυχνίᾳ τίθεσθαι
καὶ φαίνειν ἐν τοῖς θαύμασιν
τῇ οἰκουμένῃ, ἔνδοξε,
καθὼς ὁ κύριος ἔφησεν.

θεοτ. Ῥόδον εὐπρεπέστατον εὑρών σε
μέσον ἀκανθῶν ὁ φυτουργὸς
τῆς κτίσεως, ἠρέτισεν

37 Χριστὸν Vb 39 πᾶσιν Vb 51-52 ὡς ναῦ, παμμάκαρ ὅσιε, τῆς αἰωνίου βασιλείας Χριστοῦ Ci 57 τὴν οἰκουμένην ἅπασαν Ci
heirm. γʹ ΕΕ 100, n. 141, Joannis

41-46 Act. 9,15-19 53-58 Matth. 5,15-16

ἐν σοὶ σκηνῶσαι, δέσποινα,
καὶ ἐκβλαστήσας ἅπαντα
εὐωδιάζει τὰ πέρατα.

ᾠδὴ δʹ. *Τὴν ἀνεξιχνίαστον*

Ὕμνοις νῦν γεραίρομεν,
μάκαρ σοφέ,
τὴν θείαν σορὸν τῶν λειψάνων σου·
καὶ γὰρ ἐκβλύζει
θεῖον ἔλαιον ἡμῖν
τῶν ἰαμάτων πάντοτε,
σὲ τοῖς μετὰ πόθου δοξάζουσιν.

Μέγα ἐναβρύνεται
πόλις ἡ σὴ
Λάρισα τὴν θήκην κατέχουσα
τῶν σῶν λειψάνων
καὶ χορεύει μυστικῶς,
σὺν ἀσωμάτοις ᾄδουσα·
«δόξα τῇ δυνάμει σου, κύριε».

Ἔνθεον ἐμφάνειαν
εἶδε Μωσῆς
πάλαι, ἀλλὰ σύ, παναοίδιμε,
ἀσχέτῳ φάει
τὸν ἀόρατον ὁρᾷς
ὡς ἐγχωρεῖ θεάσασθαι,
χάριν παρ᾽ αὐτοῦ ἐξαιτῶν ἡμῖν.

63 εὐβλαστήσας Vb ἅπαντας Ci 64 εὐωδιάζων τοὺς ὑμνοῦντάς σε Ci
heirm. δʹ ΕΕ 100, n. 141 Joannis hoc ordine trop. in Vb traduntur: I, III, IV, II, V 71 τοῖς σὲ Ci δοξάζο<...> Vb 85 ἡμῶν Vb

72-78 LOPAREV, Житіе св. ахиллія Ларисскаго in VV 4 (1897) 364: Ἡ λάρναξ δὲ παρὰ Λαρισσαίοις καί τι μέρος τοῦ σώματος διατέτμηται γὰρ καὶ ἀπανταχοῦ διαδίδοται τὸ καλόν.

79-85 Ex. 3,1-10

Ἡ πεποθημένη σου,
πάτερ, σορὸς
βρύουσα τὸ ἅγιον ἔλαιον,
σαφῶς σὲ φαίνει
συμπαθείας ἐραστὴν
καὶ τῶν πτωχῶν συλλήπτορα,
ἔλαιον αὐτοῖς παρεχόμενον.

θεοτ. Σὺν τῷ ἀρχαγγέλῳ σοι
πίστει, ἁγνή,
Γαβριὴλ τὸ «χαῖρε» κραυγάζομεν·
χαῖρε τεκοῦσα
ποιητήν σου καὶ Θεόν,
τὸν ἐκ φθορᾶς ῥυσάμενον
καὶ τῆς καταδίκης τὸ γένος ἡμῶν.

ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*

Χοροὺς συστησώμεθα
πνευματικούς, φιλέορτοι,
ὑμνοῦντες Ἀχίλλιον τὸν πάνυ·
καὶ γὰρ πάρεστιν
καὶ γεγηθὼς ἐφορᾷ
τοὺς πίστει δοξάζοντας αὐτόν,
τούτοις ἱλεούμενος
τὸν φιλάνθρωπον κύριον.

Ἀληθείᾳ φέρων σου
τὴν κλῆσιν, ὦ Ἀχίλλιε,
ὡς ἄσαρκος ἤνυσας τὸν βίον
ἐν ἐγκρατείᾳ,
πάσῃ νηστείᾳ τε,
δι' ἧς εὐηρέστησας Θεῷ,
χάριν ἐφελκύσω τε
τὴν τοῦ πνεύματος, ὅσιε.

97 ποιητὴν] υἱὸν Ci
heirm. ε' EE 100 n. 141, Joannis 108 ἀλήθεια Vb 112 πᾶσιν Vb

93-99 Luc. 1,28

Ῥεῖθρα βλύζεις, ὅσιε,
ὡς ἐκ πηγῆς τοῦ πνεύματος
τοῖς πίστει προστρέχουσι τῇ θείᾳ,
f. 78 ‖ πάτερ, σορῷ σου
ἐλαίου πάντοτε,
ἐξ οὗ ἀλειφόμενοι ἀεί,
παθῶν ἐκλυτρούμεθα
τῶν ψυχῶν καὶ σωμάτων ἡμῶν.

θεοτ. Ἐν σοί, ἀπειρόγαμε,
Θεὸς οἰκήσας πρόεισι
θεάνθρωπος, σῴζων ἐκ θανάτου
τὴν ἀνθρωπείαν
φύσιν, θεόνυμφε·
ὅθεν καταχρέως σε πιστοὶ
πάντες μακαρίζομεν
καὶ ἐν σοὶ καταφεύγομεν.

ᾠδὴ ς'. *Τὴν θείαν ταύτην καὶ πάντιμον*

Ἰλὺν παθῶν διεσκέδασας
νηστείαις, ἀγρυπνίαις καὶ δάκρυσιν
καὶ χαμευνίαις τε
καὶ πρὸς τὸν κτίστην δεήσεσιν,
δι' ὧν Θεοῦ ἐδείχθης
ἄρτιος ἄνθρωπος.

Σαρκὸς τὰ πάθη ἐξώρισας,
ψυχῇ δέ σου τὸ θεῖον ἐνῴκησας
πνεῦμα πανάγιον
διὰ πολλὴν καθαρότητα,
θεοειδής τε ὤφθης
χάριτι, ὅσιε.

120 ἐλαίῳ Ci 121 ἐξ οὗ] δι' οὗ Ci ἀλειφθόμενοι Vb 125 πρόεισε Vb 129 σε] οἱ Ci
heirm. ς' EE 100, n. 141, Joannis 136 ὧν] ὢ Vb 138 ἐξώρισας] ἐζώγρησας Ci 139 ἐνῴκησας] ἐφείλκυσας Ci 142 τε] δὲ Ci

Φωτὶ τῆς χάριτος, ὅσιε,
φωτίσαις σου τὰ τέκνα, Ἀχίλλιε,
καὶ διαθρέψας αὐτὰ
τὴν θείαν βρῶσιν τὴν ἄρτιον,
τὴν διακρίνουσαν
τὸ κρεῖττον [ἀπὸ] τοῦ χείρονος.

θεοτ. Ναὸν Θεοῦ καταγγέλλομεν
σὲ πύλην καὶ λυχνίαν καὶ τράπεζαν,
ἐξ ἧς ὁ ἄρτος ζωῆς
τεχθείς, Χριστὸς ὁ Θεὸς ἡμῶν,
θεογεννῆτορ κόρη,
πάντας ἐνέπλησεν.

Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ἐν ἐλαίῳ ἔλαιον
καὶ εὐσπλαγχνίαν
ἡ σορὸς ἐκβλύζει σου,
ἀρχιερεῦ, τοῖς εὐσεβῶς
ἀνευφημοῦσι τὴν χάριν σου,
ἰαματοῦσα
ἀφθόνως ἑκάστοτε.

ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Ὡς παράδεισος ἡ θήκη σου, ἀοίδιμε,
εὐωδιάζει ἡμᾶς,
f. 78v ‖ ποταμηδὸν δὲ ἀεὶ
ὡς ἐκεῖνος νάματα,
αὕτη τὸ ἔλαιον

145 φωτίσαι σου Vb 149 ἀπὸ metri causa expunxi 151 σὲ πύλην] παστάδα Ci 154 τῆς θείας εὐωχίας Ci
hoc κάθ. post oden γ' praebet Vb
heirm. καθ. EV, 169
heirm. ζ' EE 100, n. 141, Joannis 156 σου] σον Vb 159 ἐκεῖνον Vb

ἀναδίδωσιν
εἰς ἰατρείαν πάντοτε
τοῖς πιστῶς σε ἀνυμνοῦσιν.

Τὸ Ἀρείου δόγμα πόρρω ἀπεδίωξας
τῆς ἐκκλησίας Χριστοῦ
καὶ ἀναθέματι
τοῦτον καθυπέβαλες
σὺν τοῖς συμμύσταις σου
καὶ ἐκήρυξας
τὸν ἐκ παρθένου κύριον
ἰσότιμον τῷ τεκόντι.

Ἰατῆρά σε Χριστὸς τῷ κόσμῳ ἔδειξεν,
πάτερ Ἀχίλλιε,
καὶ μαρτυρεῖ σου, σοφέ,
ἡ λάρναξ τὰ θαύματα,
ἅπερ ἐκβλύζει πιστῶς
τοῖς κραυγάζουσιν·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

Ζέσει, πάτερ, πυρπολούμενος τῆς πίστεως,
Ἀρείου αἵρεσιν
καὶ Σαβελλίου ἀμφοῖν
δεινοῖς τὴν ἀντίθεσιν
πόρρω ἐδίωξας
καὶ ἐκήρυξας
ἐν τρισὶν ὑποστάσεσιν
ἕνα φύσει Θεὸν σέβειν.

Ἐμφανέστατα τὴν πρᾶξιν βάσιν εὕρηκας
τῆς θεωρίας, σοφέ,
δι' ἧς ὀχούμενος
ὡς Παῦλος τεθέασαι
κάλλος τὸ ἄσχετον

163 ἀνυμνουσί σε Ci 166 καὶ] τῷ Ci 168 ὑμνυήσταις Vb 170-171 τὸν σαρκωθέντα κύριον / ἐκ παρθένου ἰσουργὸν τῷ πνεύματι Ci 174 μαρτυρεῖ σου] μαρτυρίου Ci 176 ἐκβλύζεις πιστοῖς Ci 181 ὀρείου Vb 187 προσκυνεῖν ἕνα φύσει θεὸν Ci 188 Ἐμφρονεστάτη πράξει Ci 190 δι' ἧς ἐποχούμενος Ci

188-195 Act. 9,15

καὶ ἐκραύγαζες·
« ὁ τῶν πατέρων κύριος
καὶ Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. Ἱλαστήριόν σε προῦθηκεν ὁ κτίστης σου
ἁμαρτανόντων, ἁγνή,
τῶν θεομήτορα
κυρίως σεβόντων σε
καὶ μελῳδούντων αὐτῷ·
« ὑπερύμνητε,
ὁ τῶν πατέρων κύριος
καὶ Θεὸς εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Τὸ λείψανον, πάτερ, σοῦ τὸ θεῖον
ἐν τόπῳ περιγραπτῷ ἐναποκείμενον
ἴαμα τοῖς κάμνουσιν
πέλει, τὸ δὲ πνεῦμά σου
τῷ θρόνῳ παριστάμενον
τῷ τοῦ δεσπότου Χριστοῦ,
πρεσβεύει ὑπὲρ τῶν σὲ ὑμνούντων
καὶ ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

f. 79 ‖ Ὤφθη ἡ σορὸς σοῦ τῶν λειψάνων
ἐκ θείας ὡς ἐκ πηγῆς χάριτος ἔλαιον
δρόσου ὑπερβλύζουσα,
ῥῶσιν παροχεύουσα
τοῖς ἀσθενοῦσιν ἅπασιν
καὶ πίστει μέλπουσιν·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

194-195 εὐλογητὸς εἶ, κύριε, / ὁ Θεὸς τῶν πατέρων ἡμῶν Ci   200-203 θεογεννήτρια / καὶ μελῳδούντων / εὐλογητὸς εἶ, κύριε, / ὁ θεὸς τῶν πατέρων ἡμῶν Ci
heirm. η' EE 100, n. 141, Joannis   205 ἀποκείμενον Ci   207 τὸ] καὶ Ci
213 ἐκ θείας χάριτος βρύουσα ἔλαιον Ci   214 δρόσου] πηγὴ Ci

Τὸ ἔλαιον βλύζουσα ἡ θήκη
τῶν θείων λειψάνων σου, Ἀχίλλιε,
χάριτι τοῦ πνεύματος
πόλεις ἐφελκύεται
καὶ ἡλικίαν ἅπασαν
ᾆσαι τῷ κτίστῃ σου·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

Ὁ λαὸς Λαρίσης ἐγκαυχᾶται
καὶ μέγα ἐπὶ τῇ θείᾳ ἐναβρύνεται
θήκῃ σου, μακάριε,
καὶ σκιρτᾷ καὶ γέγηθεν,
ὡς ἰατρεῖον ἄπαυστον
ἔχων καὶ ᾄδει Θεῷ·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

Νῦν πάρεσο, πάτερ, οὐρανόθεν,
Ἀχίλλιε, ἐποψόμενος τὰ τέκνα·
κροτοῦσι γὰρ σήμερον
χεῖρας καὶ χορεύουσιν
μυστικῶς ἐν τῇ μνήμῃ σου
καὶ ἀναμέλπουσιν·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ὁ πόκος ποτὲ τοῦ Γεδεὼν σε,
παρθένε, προετυποῦτο, παναμώμητε,
ἀνίκμως γάρ, ἄχραντε,
ὄμβρον τὸν οὐράνιον·
υἱὸν Θεοῦ συνέλαβες
ἐν τῇ νηδύϊ σου
καὶ ἔτεκες θεάνθρωπον κόσμῳ·
ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

---

221 θείων σου λειψάνων Ci   229-230 καὶ μέγα ἐναβρύνεται, πάτερ ὅσιε, / ἐν τῇ θείᾳ θήκῃ σου Ci   231 alterum καὶ om. Vb   237 ὀψόμενος τὰ τέκνα σου Ci   241 ἄδοντα ἄξια Ci   242 τὰ ἔργα om. Vb   245 προετύπου, μητρόθεε Ci   246 ἀνίκμως] ἀνίγμως Cl   ἀνηγεγμῶς Vb

---

244-251 Jud. 6,36-40

ᾠδὴ θ'. *Ἅπας γηγενὴς*

Ξένον καθορᾷ
καὶ θαῦμα παράδοξον,
μάκαρ Ἀχίλλιε,
πᾶς ὁ προσερχόμενος
ἐν τῷ ναῷ σου·
βρύει γὰρ ἔλαιον
ἡ λάρναξ τῶν λειψάνων σου,
ὥσπερ πηγὴ δαψιλῶς
χριομένοις,
πᾶσι δὲ τὴν ἴασιν
παροχεύει ἀεὶ τῇ δυνάμει Χριστοῦ.

Εἰς πᾶσαν τὴν γῆν
ἐξῆλθεν ὁ φθόγγος
τῆς διδασκαλίας σου,
ὅσιε Ἀχίλλιε,
ὁ τρόπος καί γε
τῶν κατορθωμάτων σου,
ἱερομύστα ἔνδοξε,
φωστὴρ τοῦ κόσμου παντός,
δι' οὗ πάντες
ὀρθοδόξως σέβομεν
ἐν τρισὶν ὑποστάσεσιν ἕνα Θεόν.

f. 79v || Νεκρὸν μέν ἐστιν
καὶ τάφῳ ἀπόκειται,
πάτερ, τὸ σῶμά σου,
ζῇ δὲ ἐν τῇ χάριτι
Θεοῦ καὶ πᾶσιν
τοῖς ἀσθενοῦσι δεινῶς
μαρμαρυγὰς ἰάσεων
δίδωσιν, ὅσιε,
ἐν ἐλαίῳ

heirm θ' EE 100, n. 141, Joannis 256 πιστῶς ἐν τῷ ναῷ σου Ci 267-268 σοφέ, ὁ τρόπος / καί γε κατορθωμάτων σου Ci 270 παντὸς] πάντας Vb 275 καὶ τόπῳ περίγραπτον Ci 278 πᾶσιν] τοῖς πέλουσιν Ci 279 ἐν ἀσθενείαις δειναῖς Ci

263-266 Ps. 18,5

ἔλεος δωρούμενον·
ὅθεν πίστει καὶ πόθῳ ὑμνοῦμέν σε.

Ὅπως σε πιστῶς
ὑμνοῦμεν ἑκάστοτε,
πάτερ Ἀχίλλιε,
αἴτησαι ἡμῖν ἀεὶ
λύσιν πταισμάτων,
εἰρήνην ἄπαυστον
καὶ νοσημάτων ἴασιν
καὶ βασιλεῦσι πιστοῖς
νίκης κράτος,
ἰσχὺν τοῖς στρατεύμασι
κατὰ τοῦ Ἰσμαὴλ δυσμενοῦς ἡμῖν.

Νύξ με τῶν παθῶν
ἁλίσκει, ἀοίδιμε
πάτερ Ἀχίλλιε,
ἀλλ' ὡς συμπαθέστατος
διώξας ταύτην,
φώτισον δέομαι
καὶ ψελλισμάτων ἔρανον
λόγων προσδέξαι μου,
ὥσπερ ἄνθη,
μάκαρ, χαριέστατα
ἐκ πτωχῆς διανοίας φερόμενα.

Νόμον ἀληθῶς
ἐγκωμίων ἅπαντα
σὺ ὑπερβέβηκας,
ἀλλὰ τὸ ἐκ πίστεως
προσδεδεγμένος,
πάτερ, ἐφύμνιον,
αἰτήσαις μοι τὴν ἄφεσιν
πταισμάτων δέομαι
πρὸς τοῦ κτίστου,

283 ἔλεον Ci 284 τοῖς ἐν πίστει καὶ πόθῳ ὑμνοῦσί σε Ci 288 αἴτησαι ἡμῖν πρὸς τοῦ Θεοῦ Ci 299 ἀλλ' ὡς συμπαθέστατος ποιμὴν Ci 303 προσδέξαις μου Ci 304 ὡς πατέρες Ci 306 ἵνα πόθῳ καὶ πίστει δοξάζω σε Ci 307 ἀληθῶς | ἀγαθῶν Ci 310 ἀλλὰ τὸ ἐκ πίστεως σμικρὸν Ci 313 μοι] μου Ci

λύτρωσιν κινδύνων τε
τοῖς πιστῶς ἐκτελοῦσι τὴν μνήμην σου.

θεοτ. Νοῦν σου καὶ ψυχὴν
καὶ σῶμα πανάχραντον
εὑρὼν ὁ κτίστης σου,
ᾤκησεν ἐν σοί, σεμνή,
καὶ ὡς ἐκ πύλης
νηδύος σῆς προελθών,
πάλιν παρθένον ἔδειξεν
ἐσφραγισμένην ὡς πρίν·
διὸ πάντες
πίστει προσκυνοῦντές σου
τὸν υἱὸν καὶ Θεὸν σὲ δοξάζομεν.

316 λύτρωσιν] ρῶσι Vb   321 σεμνή] θεοπρεπῶς Ci   323 προσελθὼν Cl Vb

IN SANCTUM NEADIUM

Synaxarium, 689: Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νεαδίου.

Paris. gr. 1575	= Pv,	ff. 84v-85v
Paris. Suppl. gr. 152	= Sc,	ff. 70-71
Barber. gr. 450	= Bh,	ff. 112-113v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τῷ θαυματουργῷ προσλαλῶ Νεαδίῳ· ὁ Ἰωσήφ.

Ἦχος πλ. β′.

ᾠδὴ α′. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Τῷ φωτοδότῃ δεσπότῃ
παρεστηκὼς
ἐν χαρᾷ ὁλόφωτος,
τὴν φαιδράν σου ἑορτὴν
τοὺς τελοῦντας σήμερον, σοφέ,
φωτισμοῦ πνευματικοῦ
μετόχους ποίησον.

Ὡς καθαρὸς τῇ καρδίᾳ,
ὡς τῶν παθῶν
γεγονὼς ἀνώτερος,
χρῖσμα ἅγιον τῇ σῇ
κορυφῇ εἰσδέδεξαι σαφῶς,
ἱεράρχης γεγονώς,
πάτερ Νεάδιε.

tit. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Νεαδίου Pv   Εἰς τὸν ὅσιον πατέρα ἡμῶν καὶ θαυματουργὸν Νεάδιον Sc Bh   acr. om. Sc   acr. nomen ὁ Ιωσηφ deest in Pv   in margine Bh
heirm. α′ EE 159, n. 224, Joannis

Θαυματουργῶν καὶ ἰάσεις
ἐπιτελῶν
καὶ σημεῖα, ἔνδοξε,
ἐργαζόμενος πολλά,
f. 85 ‖ ἐκ Θεοῦ δεδώρησαι ἡμῖν
τοῖς ἀνθρώποις ἰατρός,
πάτερ Νεάδιε.

θεοτ. Ἀναφανεῖσα τῷ κάλλει
τῶν ἀρετῶν
φωταυγὴς ὡς ἥλιος,
τὸ ἀπαύγασμα πατρὸς
ἐν σαρκὶ ἐκύησας Χριστόν,
τὸν φωτίσαντα ἡμᾶς,
θεοχαρίτωτε.

ᾠδὴ γʹ. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Ὑπῆρξας ἄκακος, πραΰς,
συμπαθής τε, παμμάκαρ,
ἐπαρκῶν δεομένοις,
διατρέφων δαψιλῶς
πεινῶντας ὡς πληρωτὴς
θείων λόγων,
πάνσοφε Νεάδιε.

Μεγάλοις πόνοις ὁμιλῶν,
μέγιστον εὗρες κλέος,
ἰαμάτων τὴν χάριν
καὶ θαυμάτων δωρεὰν
πλουτήσας ἐκ τοῦ Θεοῦ
τοῦ μεγάλου,
μέγιστε Νεάδιε.

Ἀστέρα μέγα σε Χριστὸς
ἔθετο ἐν τῷ ὕψει
τῆς αὐτοῦ ἐκκλησίας,

20 ἀνθρώποις] ποθοῦσιν Bh 21 πάτερ] γέγονας Bh
heirm. γʹ EE 159, n. 224, Joannis 44 ἔθεντο Bh

ἀρετῶν φωτοειδῶν
καὶ ἰαμάτων βολὰς
πᾶσαν κτίσιν,
πάτερ, καταυγάζοντα.

θεοτ. Τεχθεὶς ὁ κύριος ἐκ σοῦ,
δέσποινα θεοτόκε,
ὑπὲρ φύσιν καὶ λόγον,
ἐδωρήσατο ἡμῖν
τὸ φῶς τὸ ἀληθινὸν
καὶ τὴν θείαν
ὄντως ἀναγέννησιν.

ᾠδὴ δʹ. *Χριστός μου δύναμις*

Ὁ νοῦς σου ἔσοπτρον
τοῦ θείου πνεύματος
γεγονώς, τὰς ἐμφάσεις
τὰς παρ᾽ αὐτοῦ
πεμπομένας, ὅσιε,
καθυπεδέξατο σαφῶς,
ἱερώτατε Νεάδιε.

Ὑφῆψας, ὅσιε,
τὴν πολιτείαν σου
ὥσπερ ἄδυτον λύχνον
τοῖς ἐν νυκτὶ
τῶν δεινῶν ὑπάρχουσιν,
καὶ καθωδήγησας αὐτοὺς
πρὸς τὸ φῶς τῆς ἐπιγνώσεως.

Ῥοαῖς δακρύων σου
ψυχὴν ἀπέπλυνας
πονηρῶν μολυσμάτων,
ἱερουργὲ
ἔνδοξε Νεάδιε,
καὶ ἰαμάτων ὀχετοῖς
ποταμοὺς παθῶν ἐξήρανας.

heirm. δʹ EE 159, n. 224, Joannis 64 Ἀφῆψας Sc

θεοτ.

Γαστρί σου, ἄχραντε,
Θεὸν ἐχώρησας
τὸν ἀχώρητον φύσει
καὶ ἐν σαρκὶ
τέτοκας, λυτρούμενον
τῶν σαρκικῶν ἡμᾶς παθῶν,
θεοτόκε, μεσιτείᾳ σου.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ὡς ἱεράρχης πανευκλεὴς
χρίσματι ἐχρίσθης ἱερῷ,
τελῶν ἁγίως τὰ ἅγια
καὶ καθαγιάζων
λαὸν θεόφρονα
μεθέξει πανολβίᾳ,
πάτερ Νεάδιε.

Πανηγυρίζει ὁ ἱερὸς
σήμερον λαός, περικυκλῶν
τὴν ἱερὰν τῶν λειψάνων σου
λάρνακα, θεόφρον,
καὶ ἀρυόμενος
τὴν χάριν τῶν θαυμάτων
καὶ μακαρίζων σε.

Ῥόδον καθάπερ τῷ μυστικῷ
ἤνθησας λειμῶνι ἀληθῶς
τῆς ἐκκλησίας, Νεάδιε,
κατευωδιάζων
τὰς διανοίας ἡμῶν
σημείων παραδόξων
ταῖς ἐπιδόσεσιν.

θεοτ.

Ὁ ἱερός σε τῶν προφητῶν
πόρρωθεν ὠνόμασε χορὸς

---

84 μεσιτείαις Sc
heirm. ε' EE 159; n. 224, Joannis 90 πανολβίῳ Sc 98 μακαρίζει Bh
99 καθάπερ] παμμάκαρ Bh 100 λειμῶνι] λιμένι Sc 106 Ὁ] Ἡ Sc

ὄρος καὶ πύλην, πανάμωμε,
μόνος ἣν διῆλθεν
ὁ ὑπερούσιος,
δικαιοσύνης πύλας
ἀνοίγων πᾶσιν ἡμῖν.

ᾠδὴ ϛ'. *Τοῦ βίου τὴν θάλασσαν*

Σημεῖα καὶ τέρατα
ἐν ἀνθρώποις ἐκτελῶν
περιφανῶς καὶ κτήνεσιν,
παρὰ Θεοῦ ἐδόθης πᾶσιν, σοφέ,
ἰατρὸς πανάριστος
καὶ ποιμήν, ἱεράρχα,
ἱερώτατος.

Λαμπτὴρ διαυγέστατε,
ἱερώτατε ποιμήν,
θαυματουργὲ Νεάδιε,
πάσας ἡμῶν τὰς νόσους τὰς ψυχικὰς
καὶ πάθη τοῦ σώματος
τῇ ἐν σοὶ θεραπείᾳ
μεταποίησον.

Ἀθάνατον εὔκλειαν,
ἀτελεύτητον ζωήν,
διηνεκῆ ἀπόλαυσιν,
ἄδυτον φῶς ἀπέλαβες καὶ χαράν,
πάτερ, ἀνεκλάλητον
καὶ τρυφὴν παραδείσου
ἀδιάρρευστον.

θεοτ.

Λυχνία ἑπτάφωτε,
ἁγιάσματος σκηνὴ
καὶ κιβωτὲ καὶ τράπεζα,

---

111 πόλας Sc
heirm. ϛ' EE 159, 224, Joannis 119 ἱερώτατε Bh 132 τρυφῆς Bh

134-140 cfr. Num. 3,31; Hebr. 9,2-5

γῆ ἐκλεκτὴ καὶ κλῖμαξ πρὸς οὐρανὸν
ἀνθρώπους μετάγουσα,
παναγία παρθένε,
σύ με οἴκτειρον.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἡ μνήμη σου σήμερον,
πάτερ Νεάδιε,
ὡς ἥλιος ἔλαμψεν,
φωταγωγοῦσα ἡμᾶς
τοὺς πίστει τιμῶντάς σε·
χάριν γὰρ παραδόξως
ἰαμάτων πηγάζων,
παύεις ἡμῶν τὰς νόσους
καὶ πολλὰς ἀλγηδόνας,
πρεσβεύων ἐκτενῶς τῷ Χριστῷ
σῶσαι τὴν ποίμνην σου.

f. 85v ‖ ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ὡς ἡδύπνοος κυπάρισσος ἐβλάστησας
ἐν οἴκῳ τοῦ Θεοῦ ἡμῶν
καὶ τὴν σύμπασαν
ἀρετῶν, θαυμάτων τε ᾠδαῖς
βοῶν, εὐωδίασας, σοφέ·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Νόμους θείους διετήρησας, μακάριε,
καὶ ἱερῶς ἐποίμανας
σοῦ τὸ ποίμνιον,

κάθ. ante canonem positum est in Bh
heirm. καθ. HR, 63
heirm. ζ' EE 159, n. 224, Joannis

βακτηρίᾳ λόγων ἱερῶν
τοὺς λύκους μακρὰν ἀποσοβῶν·
ὅθεν πρὸς μάνδρας νοητὰς
νῦν κατεσκήνωσας.

Ἐθαυμάστωσέν σε κύριος, Νεάδιε,
ὡς θαυμαστῶς βιώσαντα
καὶ ἐδόξασεν
ἐπὶ γῆς σε καὶ ἐν οὐρανοῖς,
δοξάσαντα τοῦτον ἀγαθοῖς
ἔργοις ἐνώπιον πολλῶν,
ἱερομύστα σοφέ.

θεοτ. Ἀπειρόγαμε παρθένε, ἡ κυήσασα
Θεὸν σάρκα φορέσαντα,
τῆς σαρκὸς ἡμῶν
καὶ ψυχῆς τὰ πάθη τὰ δεινὰ
θεράπευσον, θεῖον φωτισμὸν
ἀναπηγάζουσα ἡμῖν
τῇ μεσιτείᾳ σου.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Δωρεαῖς φωτοβόλοις
καταστραπτόμενος
καὶ φωστὴρ εὐσεβείας
ἀποδεικνύμενος,
φέγγος τοῖς πιστοῖς
ἰαμάτων ἐξήστραψας,
λύων νοσημάτων
τὸ σκότος, ἱεράρχα.

Ἱερεὺς δεδειγμένος
τοῦ παντοκράτορος,
ἀναιμάκτους θυσίας

---

155 ἐθαυμάτωσεν Bh 159 τούτων Sc
heirm. η' EE 159, n. 224, Joannis

τούτῳ προσήγαγες
θύων διὰ σὲ
τὸν τυθέντα ὡς πρόβατον,
πάτερ, ἀναιμάκτως,
Νεάδιε τρισμάκαρ.

Ὡραιώθης ἐν κάλλει
θείων ἀγώνων σου,
ἐδοξάσθης θαυμάτων
ταῖς ἐπιδείξεσιν,
ἔλαμψας ἐν γῇ
τοῦ ἡλίου φαιδρότερον
ταῖς θεοσημείαις,
Νεάδιε θεόφρον.

θεοτ. Ὁ Θεοῦ Θεὸς Λόγος
ἐκ σοῦ σεσάρκωται
καὶ βροτῶν τὴν οὐσίαν
πᾶσιν ἐθέωσεν,
καὶ τοὺς ἐπὶ γῆς
οὐρανίους εἰργάσατο
ἐν ἀγαλλιάσει
ὑμνοῦντάς σε, παρθένε.

ᾠδὴ θ'. *Θεὸν*
ἀνθρώποις ἰδεῖν ἀδύνατον

Ἰσχὺν
καὶ κράτος σὲ περιέζωσεν
ὁ δυνατὸς
καὶ μόνος ἐν ἰσχύϊ ἀήττητος
καὶ παθῶν αὐτοκράτορα ἔδειξεν

183 ἀναιμάκτους Sc   196 ἐθέασεν Sc
heirm. θ' EE 159-160, n. 224, Joannis

181-184 Act. 8,32

καὶ πονηρῶν πνευμάτων
ἀποσοβήτορα,
πάτερ ἱεράρχα καὶ ποιμὴν
ἀξιοθαύμαστε.

Ὡς φῶς,
ὡς ὄρθρος, ὡς μέγας ἥλιος
ἡ ἱερὰ
τῷ κόσμῳ ἐξανέτειλε μνήμη σου,
τῶν πιστῶν τὰς καρδίας φωτίζουσα
καὶ τὸ τῆς ἀγνωσίας
σκότος ἐλαύνουσα
καὶ τῶν παθημάτων τὴν ἀχλὺν
ἀποδιώκουσα.

Σαρκὸς
καὶ κόσμου ἔξω γενόμενος,
ἐπὶ τῆς γῆς
ὡς ἄσαρκος, παμμάκαρ, ἐβίωσας
προσευχαῖς καὶ νηστείαις, μακάριε,
στῦλος ὀρθοδοξίας,
ἔρεισμα πίστεως·
ὅθεν σε τιμῶμεν εὐσεβῶς,
μάκαρ Νεάδιε.

Ἡ γῆ
τὸ σῶμά σου τὸ πανίερον
νόμῳ, σοφέ,
τῆς φύσεως καλύπτει, Νεάδιε,
οὐρανὸς δὲ κατέχει τὸ πνεῦμά σου
μετὰ πάντων ἁγίων
ἐπαγαλλόμενον·
μεθ' ὧν ἡμῶν μέμνησο ἀεὶ
τῶν μεμνημένων σου.

219-227 trop. om. Sc   235 ἡμῶν] σε Sc

224-225 cfr. I Tim. 3,15

θεοτ.

Φωνὴν
προσάγομέν σοι χαρμόσυνον
τοῦ Γαβριήλ,
παρθένε θεοτόκε, κραυγάζοντες·
χαῖρε, μήτηρ Χριστοῦ ἀδιάφθορε,
χαῖρε, φωτὸς νεφέλη,
χαῖρε, παλάτιον
τοῦ παμβασιλέως καὶ Θεοῦ,
θεοχαρίτωτε.

237-245 Luc. 1,26-28

17 MAII *CANON XX*

IN SS. PETRUM, DIONYSIUM ET SOCIOS ET S. ZACHARIAM PROPHETAM

Synaxarium, 691-693 (1): Ἄθλησις τῶν ἁγίων μαρτύρων Πέτρου καὶ Διονυσίου καὶ Χριστίνης παρθένου, καὶ τῶν σὺν αὐτοῖς Ἀνδρέου καὶ Παύλου. Ὁ ἅγιος μάρτυς Πέτρος ἦν ἐκ Λαμψάκου τῆς πόλεως· ἀχθεὶς δὲ Δέκνῳ τῷ ἄρχοντι τῆς Ἀβυδηνῶν πόλεως καὶ θῦσαι προσταχθεὶς τῇ Ἀφροδίτῃ καὶ μὴ πεισθεὶς ἀλλὰ τὸν Χριστὸν ὁμολογήσας, δεσμοῖς καὶ ξύλοις καὶ τροχαντῆρσιν ὅλον τὸ σῶμα συντρίβεται καὶ τὴν ψυχὴν παραδίδωσιν. Παῦλος δὲ καὶ Ἀνδρέας ἐκ Μεσοποταμίας ὄντες ἅμα τῷ ἄρχοντι Δέκνῳ, ὑφ' ᾧ ἐστρατεύοντο, τὰς Ἀθήνας καταλαμβάνουσι. Συλληφθέντες δὲ ἐν αὐταῖς Διονύσιος καὶ Χριστίνα τῇ αὐτῶν πιστεύονται φυλακῇ· τὴν δὲ ἁγίαν Χριστίναν, παρθένον οὖσαν καὶ εὐπρεπῆ καὶ γάμων ἔχουσαν ὥραν, ἐκκαλοῦνται πρὸς μίξιν. Τῆς δὲ μὴ πεισθείσης, ἀντὶ τοῦ ταύτην βιάσασθαι, μεταβληθέντες αὐτοὶ ταῖς παραινέσεσι τῆς ἁγίας, ἐπίστευσαν τῷ Χριστῷ· ὅθεν αὐτοὶ μὲν καὶ ὁ Διονύσιος, προστάξαντος τοῦ ἄρχοντος, νιφάσι τῶν λίθων κατεχώσθησαν καὶ τὸ μακάριον τέλος ἔλαβον. Ἡ δὲ ἁγία Χριστίνα ἐπιπεσοῦσα αὐτοῖς τὴν κεφαλὴν ἀπετμήθη.

Synaxarium, 689-690 (2): Καὶ τοῦ ἁγίου προφήτου Ζαχαρίου, οὗ ἐγράφη τῇ ὀγδόῃ τοῦ φευρουαρίου. Οὗτος εἷς ἦν ⟨ἐν⟩ τοῖς ἑξκαίδεκα προφήταις, ἐκ γένους Λευῒ υἱὸς Βαραχίου· ἐγεννήθη δὲ ἐν Γαλαάδ. Ἦλθε δὲ ἀπὸ τῆς Χαλδαίων γῆς ἤδη προβεβηκώς, καὶ ἐκεῖ ὢν πολλὰ τῷ λαῷ προεφήτευσεν καὶ τέρατα πολλὰ ἔδωκεν εἰς ἀπόδειξιν. Οὗτος εἶπε τῷ Ἰωσεδὲκ ὅτι· « Γεννήσεις υἱὸν καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύσει τῷ Κυρίῳ εἰς τύπον τοῦ ἀληθινοῦ ἀρχιερέως », καὶ ὑπὲρ τῆς λειτουργίας αὐτοῦ προεφήτευσε, ἣν ποιήσει ἐν Ἱερουσαλήμ, καὶ εὐλόγησεν αὐτὸν σφόδρα. Οὗτος καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ εὐλόγησε λέγων ὅτι· « Γεννήσεις υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ζοροβάβελ ». Καὶ ἐπὶ Κύρου τοῦ βασιλέως Περσῶν τέρας ἔδωκεν εἰς νῖκος περὶ Κροίσου τοῦ Λυδῶν βασιλέως, καὶ περὶ τοῦ Ἀστυάγους τοῦ τῶν Μήδων βασιλέως. Καὶ τὰ περὶ τῆς πορθήσεως Ἱερουσαλὴμ καὶ περὶ τοῦ τέλους Ἰσραὴλ καὶ ἀρχῆς ἐθνῶν καὶ τέλους καὶ τοῦ ναοῦ ἕως θεμελίων καταστροφῆς καὶ ἀργείας προφητῶν καὶ ἱερέων καὶ σαββάτων καὶ διπλῆς κρίσεως ἐξέθετο· καὶ ἕτερα πολλὰ προφητεύσας ἐκοιμήθη ἐν γήρᾳ μακρῷ, καὶ ἐτάφη ἐγγὺς Ἀγγαίου τοῦ προφήτου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ, τῷ ὄντι ἐν τοῖς Ἀρεοβίνδου.

Mess. gr. 121 = Mh, ff. 183-184v

(1) In die 18 maii (2) In die 16 maii

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος γ΄.

ᾠδὴ α΄. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Ὁ φωτοδότης καὶ ποιητὴς τῶν ἁπάντων,
ἐν τῇ αἴγλῃ, κύριε, τοῦ σοῦ προσώπου
καταύγασον καὶ ὁδήγησον ἡμᾶς
εἰς τὰς ὁδούς σου πρεσβείαις τῶν μαρτύρων.

Τῆς ἀληθείας τῷ φωτὶ ἐλλαμφθέντες
οἱ γενναῖοι μάρτυρες, πλάνης τὸ σκότος
ἐξέφυγον καὶ τὸν ἄδυτον Χριστὸν
ἥλιον εἶδον, γενναίως ἐναθλοῦντες.

Τοῦ παρακλήτου καταυγασθεὶς τῇ ἐλλάμψει,
διανοίας ὄμματα εἶδες ἐνθέως
τὴν δόξαν τὴν τοῦ κυρίου, προφῆτα,
τὴν παρουσίαν αὐτοῦ τρανῶς δηλοῦσαν.

θεοτ. Γαλήνην θείαν ἐκ πειρασμῶν τρικυμίας
σέ, θεοχαρίτωτε, ἀεὶ ὁρῶντες,
αἰσίως χειραγωγούμεθα ταῖς σαῖς
θείαις πρεσβείαις εἰς ταύτην, παναγία.

ᾠδὴ γ΄. *Στερέωσον, κύριε, τὰς καρδίας ἡμῶν*

Τῆς ἀληθοῦς γνώσεως τῇ ἰσχύϊ, σοφέ,
διέλυσας τὰς τοῦ ψεύδους συμπλοκὰς
καὶ συνήρμοσας λαοὺς
τῇ ἀγάπῃ τοῦ Χριστοῦ.

---

tit. Μηνὶ τῷ αὐτῷ (μαΐῳ) ιζ΄ τῶν ἁγίων μαρτύρων τῶν ἐν Ἀθήναις Πέτρου, Διονυσίου καὶ τῶν σὺν αὐτοῖς καὶ Ζαχαρίου τοῦ προφήτου τοῦ ἐν τοῖς ις΄ nomen Γεωργιου e litteris capitalibus θεοτοκίων deducitur
heirm. α΄ ΕΕ 78, n. 110, Germani
heirm. γ΄ ΕΕ 75, n. 107, Andreae

Τῆς πίστεως, ἅγιοι, ἐπὶ πέτραν στερρὰν
ἐρείσαντες ἑαυτοὺς θεοπρεπῶς,
προσβολαῖς καὶ μηχαναῖς
οὐκ ἐσείσθητε ἐχθρῶν.

Τὴν τοῦ Χριστοῦ ἔλευσιν μυηθεὶς παρ᾽ αὐτοῦ
ἐκήρυξας ἐμφανῶς τοῖς ἐπὶ γῆς,
ὑπερφαίνων μυστικῶς
ἐν αἰνίγμασιν αὐτήν.

θεοτ. Ἐλύθημεν, ἄχραντε, τοῦ δεσμοῦ τῆς ἀρᾶς
διὰ τοῦ σοῦ παναγίου τοκετοῦ
καὶ συνήφθημεν πιστοὶ
εὐλογίᾳ θεϊκῇ.

f. 183v ‖ ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν ⟨σου καὶ ἐφοβήθην⟩

Ἡ λαμπὰς ἐνδημήσασα
τοῦ παρακλήτου ἐν σοί, θεόφρον,
ὡς τοὺς θείους ἀποστόλους σε
κατελάμπρυνεν καὶ φωστῆρα ἀνέδειξεν.

Τὸν ὁμώνυμον, ἔνδοξε,
ζηλώσας λόγοις θείοις ⟨τε⟩ ἔργοις
Διονύσιον, ἐκήρυξας,
ἐναθλῶν τῇ πίστει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Τὴν τοῦ πνεύματος ἔλλαμψιν
καὶ πρὸ τῆς χάριτος δεδεγμένος,
τὰ ἐν ταύτῃ προεμήνυσας
ἐκβησόμενα, Ζαχαρία ἀοίδιμε.

---

heirm. δ΄ deest in ἦχος γ΄, εἰσακήκοα κτλ. inter exempla ἦχ. δ΄ deest, eadem verba invenies in ἦχος πλ. δ΄: ΕΕ 231 n. 331, Andreae 38 τε scripsi metri et sensus causa 44 ἐκβοησόμενα

25-28 Luc. 1,67-75 33-36 Act. 1,1-4 41-44 Zach. 1,9

θεοτ. Ὡραιωθεῖσαν, πανάχραντε,
τῷ θείῳ κάλλει τῆς παρθενίας σου,
ὁ δεσπότης ἐξελέξατο
καὶ μητέρα σεαυτοῦ ἀπειργάσατο.

ᾠδὴ ε′. *Ὀρθρίζοντες ἀνυμνοῦμέν σε, Λόγε,*

Τὰ θύρατρα τοῦ ἐχθροῦ διαρρήξας,
Πέτρε, τῷ τύπῳ τοῦ σταυροῦ,
ἀβλαβῶς πρὸς τὸν Χριστὸν
διεσώθης, ἀνυμνῶν
τοῦτον ὡς κύριον
καὶ μόνον βασιλέα.

Ἀπέτεμον οἱ γενναῖοι ὁπλῖται
καὶ στρατιῶται τοῦ Χριστοῦ
τοῦ ἐχθροῦ τὴν κεφαλὴν
καρτερίας τῷ ξίφει,
καὶ νίκης ἔλαβον
ἐκ Θεοῦ τὰ βραβεῖα.

Τὸν ἄμετρον ἐν ἀπόροις προϊδὼν
πλοῦτον τοῦ πάντων ποιητοῦ,
ἀνεκήρυξας αὐτόν,
Ζαχαρία, τῷ λαῷ
καὶ τοῦ ναοῦ αὐτοῦ
προϋπέθου τὴν δόξαν.

θεοτ. Ῥανίσι σου ἀειρύτοις, παρθένε,
ταῖς νοουμέναις καὶ ἡμῶν
τὸ φλογῶδες τῶν παθῶν
καὶ τῶν θλίψεων ἀεὶ
κατασβενύουσα,
δρόσισον εὐθυμίᾳ.

45 ὡραιώθήσαν 50 τυτώπω (sic)
heirm. ε′ EE 78, n. 110, Germani

ᾠδὴ ϛ′. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

f. 184 ‖ Τὰς τῶν βασάνων τρικυμίας
καρτερίας κυβερνήσει
διαδραμών, πρὸς γαληνὸν
τῆς ἀθλήσεως κατήντησας
λιμένα, Πέτρε, Χριστὸν
ὑμνολογῶν
ἀθλοθέτην καὶ σοφὸν κυβερνήτην.

Ἐκ τοῦ πελάγους τῆς σοφίας
τοῦ Χριστοῦ, ἅγιοι μάρτυρες,
ναμάτων γνώσεως αὐτοῦ
ἀπαντλήσαντες, ἠρδεύσατε
ἀνθρώπων διανοίας
καὶ τὴν ψευδῆ
ἐκλύσατε τῶν Ἑλλήνων σοφίαν.

Χρυσῆν λυχνίαν, Ζαχαρία,
προορῶν τὴν ὑπερένδοξον
καὶ ὑπερλάμπουσαν ἁγνήν,
προεκήρυξας αὐτὴν ἐμφανῶς,
τὸ ὕπερθεν αὐγάζον
ταύτην, Χριστόν,
λαμπάδιον εὐλογῶν εἰς τοὺς αἰῶνας.

θεοτ. Γῆς οἱ ἀπόγονοι, παρθένε,
διὰ σοῦ υἱοὶ γεγόναμεν
Θεοῦ, τοῦ χάριτι ἡμᾶς
νεουργήσαντος τῷ πνεύματι
καὶ τῆς υἱοθεσίας
δόντος ἡμῖν
τὴν ἀξίαν εἰς αἰῶνα αἰῶνος.

heirm. ϛ′ EE 78, n. 110, Germani 98 οἰοἰθεσίας (sic)

87-93 Zach. 4,2-3

ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Τοῖς ὄμβροις τῶν αἱμάτων
τῆς ἀπάτης τὴν κάμινον
οἱ γενναῖοι ἀθλοφόροι κατασβέσαντες,
εὐχαρίστως ἐβόων·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Μαρτύρων κορυφαῖος
ὡς ὑπάρχων, ἀοίδιμε,
σὺν αὐτοῖς, Πέτρε, ἱκέτευε τὸν κύριον
ὑπὲρ τῶν ἐκτελούντων
ὑμῶν τὴν μνήμην τὴν σεπτὴν
καὶ ἀνυμνούντων Χριστόν.

Ἀνθρώπους δονουμένους
ἀπογνώσει ἐστήριξας,
Ζαχαρία, τοῖς σοῖς λόγοις καὶ διήγειρας
εὐχαρίστως κραυγάζειν·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἰσχὺν ἡ ἀνθρωπότης
διὰ σοῦ, θεονύμφευτε,
ἐζωσμένη, τὸν ἀρχαῖον πολεμήτορα
f. 184v κατα||τροποῦται, βοῶσα·
« εὐλογημένη ἀεὶ
ἐν γενεαῖς γενεῶν ».

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων*

Τὸ διαυγὲς τῆς ψυχῆς συντηρήσας,
Πέτρε, ἀθόλωτον,
καθαρὸς τῷ δεσπότῃ

heirm. ζ' ΕΕ 79, n. 111, Germani   104 ἐβόουν   106; 118 vv. om
109 ἱκετεύων   124 ἐν om.   127 καθαρῶς
heirm. η' ΕΕ 78, n. 110, Germani

καὶ κτίστῃ ἠτένισας,
πρὸς ὃν δι' ἀθλήσεως
ἀνήχθης, δοξάζων αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὴν βδελυρὰν Ἀθηναίων θρησκείαν
ἀποστραφέντες,
τοῦ Χριστοῦ, ἀθλοφόροι,
τὴν σεπτὴν καὶ ἄμωμον
ἐποθήσατε πίστιν,
δι' ἧς οὐρανίων ἐτύχετε χαρίτων.

Ὑπεραρθεὶς τῷ νοΐ, Ζαχαρία,
τῶν ὁρωμένων,
πρὸς ἀόρατον ἤρθης
θεωρίαν, ἔνδοξε,
δι' ἧς τὰ ἐσόμενα
πνεύματι κατεῖδες, δοξάζων τὸν πατέρα.

θεοτ. Ὁ σὺν πατρὶ τεκτηνάμενος πᾶσαν
κτίσιν Χριστὸς ὁ Θεὸς
ἐκ σοῦ τὴν ἀνθρωπίνην
φύσιν προσλαβόμενος,
θεοτόκε παρθένε,
ὡς οἶδεν, ἀναπλάττει αὐτὴν καταφθαρεῖσαν.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Σὺ τοῦ κορυφαίου τὸν ζῆλον
ὡς ὁμώνυμος τούτου
ἐν τῇ πίστει τοῦ Χριστοῦ,
Πέτρε, ἐνδείξας,
τῶν χαρίτων αὐτοῦ ἠξιώθης, ἀοίδιμε.

Ἔχων, Διονύσιε μάρτυς,
τὴν τοῦ πνεύματος χάριν

heirm. θ' ΕΕ 79, n. 111, Germani

149-153 cfr. Luc. 6,14-15

ἐν τῇ γλώσσῃ σου, σοφέ,
τῆς ἀθείας
τὴν ἀπάτην ἐν λόγοις καὶ ἔργοις ἐξήλεγξας.

Σὺ τὴν τοῦ ναοῦ ἐλπίδα,
Ζαχαρία, προβλέπων
ἐπανόρθωσιν λαῶν,
τὰς παρειμένας
ἀνεκτήσω ἐλπίδας, αἰνῶν τὸν τῶν ὅλων Θεόν.

θεοτ. Ὑπὲρ τῶν ἐν σοὶ πεποιθότων
καθαρῶς, θεοτόκε,
πρὸς τὸν κτίστην καὶ Θεὸν
τὴν ἱκεσίαν
ἐκτενῶς ποιουμένη, αὐτὸν ἐξιλέωσαι.

158 ἐξήλεξας 163 τὸν] τῶν 164 πεποιθώτων 165 καθαρὸς

IN SS. PHILETAERUM, THEOTIMAM ET EUBIOTUM

Synaxarium, 695-696 (*): Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Φιλεταίρου. Ὃς ἦν γέννημα καὶ θρέμμα τῆς Νικομηδέων πόλεως, υἱὸς Τατιανοῦ τοῦ ἀπὸ ἐπάρχων, ἀνὴρ εὐμεγέθης καὶ ὡραῖος, λευκὸς ὡσεὶ χιὼν καὶ τὴν τρίχα τῆς κεφαλῆς καὶ τῆς γενειάδος ἔχων ἐπιλάμπουσαν ὡσεὶ χρυσοῦν. Παραστὰς οὖν τῷ Διοκλητιανῷ καὶ πολλὰ περὶ τῆς εἰς Χριστὸν πίστεως διαλεχθεὶς εἰς κάμινον πυρὸς ἐμβάλλεται καὶ ἐπὶ πολὺ ἐν αὐτῇ διαμείνας ἀβλαβὴς διαφυλαχθεὶς ἀπολύεται, τὸ θαῦμα τοῦ Διοκλητιανοῦ ὑπερθαυμάσαντος. Μαξιμιανοῦ δὲ μετὰ τὸν μόρον Διοκλητιανοῦ τοῦ πενθεροῦ αὐτοῦ τῆς βασιλείας κρατήσαντος, μετακαλεῖται ὁ ἅγιος καὶ αὐτίκα τέσσαρσι πάλοις δεσμεῖται καὶ τείνεται καὶ ῥοπάλοις τύπτεται· καὶ τοῦ μαγγάνου λυθεὶς ἐπὶ ξύλου κρεμᾶται καὶ σπαθίζεται· εἶτα θηρίοις ἐκδίδοται, πάσης δὲ βασάνου ἀνώτερος γενόμενος, εἰς ἔκπληξιν ἅπαντας ἤγαγε. Διὸ τοῦ βασιλέως ἀχανοῦς μείναντος, τῷ ὑπάρχῳ παραδίδοται. Ὑποσχομένου δὲ τοῦ ἁγίου θύειν καὶ πάντων ἐπὶ τῇ θέᾳ συνδραμόντων, τῇ εὐχῇ τοῦ μάρτυρος πάντα τὰ εἴδωλα συντρίβονται, καὶ πῦρ ἐπὶ τοῦ τόπου φανὲν ἐπὶ πολὺ φόβον ἐνεποίησεν· ὅθεν ἅπας ὁ ὄχλος πρὸς τὴν τοῦ Χριστοῦ πίστιν μεθαρμόζεται. Μετὰ ταῦτα προσάγονται τῷ τυράννῳ γυναῖκες παρθένοι ἑξήκοντα, μεθ' ὧν καὶ Θεοτίμα ἡ ἀδελφὴ τοῦ μάρτυρος. Μία δὲ αὐτῶν, Κυριακὴ τοὔνομα, ἐξυβρίσασα τὸν βασιλέα τύπτεται ἀνηλεῶς ἐπὶ τῶν ὄψεων, καὶ ῥάβδοις τὸ σῶμα καταξαίνεται, καὶ τετράκις κρεμασθεῖσα τῆς μιᾶς χειρὸς σπαθίζεται· καὶ ἔτι ζῶσα πυρὶ ἀπορρίπτεται καὶ τὸ πνεῦμα Θεῷ παρατίθησιν. Ὁ δὲ ἅγιος Φιλέταιρος αὖθις τῷ βασιλεῖ παραστὰς σίδηρα βαρέα περιαυχένια περιβάλλεται, καὶ τὰς χεῖρας δεσμευθεὶς ἐν Προικοννήσῳ πέμπεται τέμνειν λίθους, κόρακος σιδηροῦ ἐπικειμένου αὐτοῦ τῷ νώτῳ. Ἐκέλευσε δὲ καὶ τὰς παρθένους τὰ αὐτὰ πονεῖν. Τοῦ δὲ ἁγίου παρερχομένου διὰ Νικαίας, πάντα τὰ ἐν τῷ ἐκεῖσε ναῷ εἴδωλα συνετρίβησαν, καὶ αὐτὸς ὁ ναὸς κατέπεσε καὶ μεγάλα θαυμάσια ἐτελέσθησαν. Πλησίον δὲ γενομένων αὐτῶν τοῦ ποταμοῦ, ὅστις ὀνομάζεται Μαλεῶν, αἰφνίδιον ἀφανεῖς ἐγένοντο αἱ παρθένοι ἐξ ὀφθαλμῶν αὐτῶν ἔκτοτε καὶ νῦν. Ὁ δὲ μακάριος Φιλέταιρος τὸν χῶρον, ὃς Πωκετὸς καλεῖται, καταλαβών, ἐν ᾧ ὑπῆρχεν ὁ τοῦ Θεοῦ θεράπων Εὐβίωτος, καὶ παρ' αὐτῷ μείνας ἑπτὰ ἡμέρας ἐτελειώθη ἐν Κυρίῳ. Ἐπίστευσε δὲ καὶ ὁ κόμης καὶ οἱ αὐτοῦ ἑταῖροι· καὶ βαπτισθέντες καὶ τὰ ἐκεῖσε συντρίψαντες εἴδωλα, μετὰ ἕνδεκα ἡμέρας τῆς κοιμήσεως αὐτοῦ ἐν εἰρήνῃ τῷ Θεῷ τὰ πνεύματα αὐτῶν παρατίθενται.

Crypt. Δ.α. IX = Cl, ff. 85^{v}-87^{v}
Sinait. gr. 617 = Σβ, ff. 46^{v}-49

(*) In die 19 maii

Ὁ κανών.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*

Θεοτερπὴς
μνήμη μαρτύρων κροτείσθω Χριστοῦ,
ἡ Φιλεταίρου σήμερον
καὶ τῆς θεόφρονος
ἀδελφῆς Θεοτίμας
παρθένου καὶ συνάθλου
καὶ Εὐβιώτου σεπτοῦ.

Σωματικὴν
ὥραν καὶ πλοῦτον πατρῷον Χριστῷ
σὺν τῇ ψυχῇ τῇ θείᾳ σου
προσενεγκάμενος,
ὦ Φιλέταιρε, πάσης
θυσίας τῷ δεσπότῃ
ὤφθης ὑπέρτερος.

Προκαθαρθεὶς
λόγῳ καὶ πράξει, Φιλέταιρε,
χειραγωγὸν τὸν βίον σου

tit. Τῇ ἑσπέρᾳ κανὼν εἰς τοὺς ἁγίους μάρτυρας Φιλέταιρον καὶ Θεοτίμαν τὴν ἀδελφὴν αὐτοῦ καὶ Εὐβίωτον Cl Τοῦ ἁγίου μάρτυρος Φιλεταίρου Σβ
heirm. α' EE 37-38, n. 51, Cosmae 1 Θεοπρεπὴς Σβ 2 μνήμη κροτείσθω μαρτύρων πιστοῖς Σβ 5 Θεοτίμης Σβ 6 παρθένῳ τε συνάθλων Σβ 10 σὺν τῇ om. Σβ 12 ὁ Φιλέταιρος Σβ 14 ὑπέρτερος] ὑπέρτιμος Σβ 17-21 his versibus Σβ substituit:

σὺν Θεοτίμῃ στέφανον
τῆς παρθενίας σου
ἀνεδήσω συμψάλλων
παρθένοις ἀνεπάφοις·
ᾄσωμεν ᾆσμα Χριστῷ.

8-14 AA.SS. Maii IV (1685) 318 § 13: Μαξιμιανὸς εἶπεν· ποῦ εἰσὶν τὰ χρήματα τοῦ πατρός σου; Ὁ ἅγιος Φιλέταιρος εἶπε· Οὐκ ἔδει μέ σοι περὶ τούτου ἀπολογήσασθαι, ὅμως λέγω ἵνα οἱ ἀκούοντες ζηλώσωσιν καὶ μιμήσωνται. Τὰ χρήματα τοῦ πατρός μου πάντα διέδωκα πένησιν, ὅπως διὰ τούτων ἄνεσιν εὕρῃ ἐνώπιον τοῦ Θεοῦ.....

πρὸς τὸ μαρτύριον
ἀπλανῶς ὁδηγοῦντα
τῇ θείᾳ προμηθείᾳ
ἔσχες, πανένδοξε.

θεοτ. * Τίς ἐξειπεῖν
σοῦ κατ' ἀξίαν δυνήσεται
τὴν ὑπὲρ λόγον σύλληψιν;
Θεὸν γὰρ τέτοκας
ἐν σαρκί, παναγία,
ἡμῖν ἐπιφανέντα
σωτῆρα κύριον.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Παφλάζοντι θυμῷ
σὲ προσκαλούμενος
ἐξέστη
καὶ γέγονεν ἠπιόφρων
βασιλεὺς ὁ ἀγριώτατος,
κατιδών σε, παμμάκαρ, ἀκατάληπτον.

22-28 θεοτ. MR III, 13 — hoc aliud θεοτ. legimus in Σβ:

Ἄρτον ζωῆς
τέτοκας τὸν ἐπουράνιον
σεσαρκωμένον, πάναγνε,
τὸν ἐνυπόστατον
τοῦ γεννήτορος Λόγον,
καὶ σὲ οἱ τῶν μαρτύρων
δῆμοι δοξάζουσιν.

28 σωτῆρα πάντων κύριον MR
heirm. γ' EE 39, n. 53, Cosmae 29-34 versus partes implent secundi trop. in Σβ: ipse ed. hoc trop. oden incipit:

Ἀφόβως τῶν δεινῶν
πολιτευσάμενος,
ὡδήγεις
ἐκ πλάνης τῆς τῶν εἰδώλων
τοὺς ὑπήκοντας, Φιλέταιρε,
πρὸς ζωὴν αἰωνίαν, ὡς θεράπων Χριστοῦ.

34 καθιδὼν Σβ ἀκατάληπτον | στρατιῶτα Χριστοῦ Σβ

29-34 AA.SS. 313 § 3: ..... ὁρᾷ αὐτὸν Διοκλητιανός· καὶ τὸ παρευθὺ μέν, μὴ ἐκχέαι τὸν ἑαυτοῦ θυμὸν οἰηθεὶς εἶναι δέον, ἀλλ' ἤπιον ἦθος σκήψασθαι, ἔστη θεωρῶν τὸν ἄνδρα ἐπὶ πολύ, καὶ θεωρῶν ἐξίστατο ἐπὶ τῷ κάλλει αὐτοῦ.

f. 86 ‖ Διδάσκων προφανῶς
πολλοὺς ἐπήλειψας
ἐλέσθαι
θανεῖν ὑπὲρ τοῦ κυρίου
καὶ μὴ ζῆν ἐν ματαιότητι
τῶν εἰδώλων τῆς πλάνης, ὦ Φιλέταιρε.

Παράφρων γεγονὼς
ὁ μέγας τύραννος
τῷ κάλλει
τῆς θέας τοῦ Φιλεταίρου,
διηπόρει καὶ Θεὸν αὐτὸν
ὑπελάμβανε μάτην ὁ ἀνόσιος.

θεοτ. * Τοῦ ἄνθρακος χρυσοῦν
θυμιατήριον
τοῦ θείου,
ἀνύμφευτε θεοτόκε,
τὸ δυσῶδες τῆς καρδίας μου
εὐωδίασον, μόνη ἀειπάρθενε.

ᾠδὴ δ'. *Εἰσακήκοα,*
κύριε, τὴν ἀκοὴν

Σοῦ, Φιλέταιρε,
προσευχομένου, Θεὸς

35-46 trop. om. Σβ 47-52 θεοτ. MR I, 95 pro hoc aliud praebet Σβ:
'Ασπόρως ἐν γαστρὶ
Θεὸν συνέλαβες MR III, 14
50 θεοτόκε] γενομένη MR
heirm. δ' MR I, 96 ode δ' in Σβ dissimilis est illius cd. Cl:
Τοὺς ὀφθαλμούς σου
ἄρας εἰς ὕψος, βροντὴν
καὶ γῆς σεισμὸν ἐπῆγες

41-46 AA.SS. 313 § 3: Ὡς δὲ ἐπὶ πολλὴν ὥραν ἐνεὸς ἔμενεν ὁ τύραννος ὁρῶν τὸ κάλλος αὐτοῦ ..... Λέγει ὁ Διοκλητιανός. Ὄντως εἷς τῶν μεγίστων ἐστὶ Θεῶν, καὶ καταπλαγεὶς τί πράξω ἐν αὐτῷ οὐχ εὑρίσκω.

53-56 AA.SS. 313 § 3: Καὶ ταῦτα εἰπὼν ἀνατείνει τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανόν, καὶ γίνεται βροντὴ μεγάλη παρευθὺ καὶ σεισμὸς ἰσχυρός.

εἰς φόβον τῶν ἀθέων
βροντίδων ἐπήκουσε καὶ ἐν τρόμῳ τῆς γῆς.

'Απετέφρωσας
κάμινον τῇ προσευχῇ
πολύφλεκτον, ὦ μάρτυς
τοῦ Χριστοῦ, Φιλέταιρε παμμακάριστε.

Κάλλος ἐν κάλλει
σώματος τὸ τῆς ψυχῆς
ὁρῶν συνεξανθοῦν σοι,
ἐμφερῆ θεοῖς σε ἔφη ὁ τύραννος.

θεοτ. * Δυσωποῦμέν σε,
ἄχραντε, ἡ τὸν Θεὸν
ἀσπόρως συλλαβοῦσα
τοῦ ἀεὶ πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Ἄλλῳ τυράννῳ πλακείς,
εὐδοκιμώτερα τοῖς πρὶν ἔδειξας
τῇ πρὸς Θεὸν

κατὰ τῶν βλασφήμων
πίστει, Φιλέταιρε.
'Εξιστάμενος
τρόμῳ καὶ πάλιν Θεὸν
ἐδόκει καθορᾶν σε
βασιλεὺς ἐμβρόντητος,
παμμακάριστε.
'Εξηδάφισε
κάμινον τῇ προσευχῇ
πολύφλεκτον ὁ μάρτυς
τοῦ Χριστοῦ Φιλέταιρος
διὰ πίστεως.
θεοτ. Θεοτόκον σε
ἔσεβον οἱ ἀθληταὶ An, κγ'
56 βροντιδῶν Cl 65-68 θεοτ. MR III, 15
heirm. ε' EE 38, n. 51, Cosmae 70 εὐδοκιμώτερον τοῦ πρὶν Σβ

57-60 AA.SS. 314 § 4: ..... ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ στενάξας ἰσχυρῶς, ἀνεφύσησε τῷ οἰκοδομήματι τῆς καμίνου, καίπερ οὔσης αὐτῆς ἔξωθεν ὡς πῦρ· καὶ συνέπεσεν καὶ ἠδαφίσθη παραχρῆμα, ὥστε σπιθαμῆς μιᾶς μὴ μεῖναι μέρος τῆς οἰκοδομῆς.

ἐντεύξει, Φιλέταιρε,
πάσης βασάνου
στερρότερον ἔχων
τὸ τίμιον σῶμά σου.

Τὰ κολαστήρια
σοὶ προσβαλὼν ὁ δυσμενὴς ἥττηται
ὡς ἀσθενής·
Χριστῷ γὰρ θαρρήσας,
κατέπτυσας τούτου
καὶ κρείττων ἐφάνης
ἐλπίδι τῆς πίστεως.

Τῇ τοῦ σωτῆρος Χριστοῦ
προσηγορίᾳ τὴν ψυχήν, ὄλβιε,
ἁγιασθεὶς
καὶ σῶμα, τῇ πίστει
ἀήττητος ὤφθης,
μανίας πληρώσας
ἁπάσης τὸν τύραννον.

θεοτ. * Σοὶ τῇ τεκούσῃ Χριστὸν
τὸν τοῦ παντὸς δημιουργὸν κράζομεν·
χαῖρε, ἁγνή,
χαῖρε, ἡ τὸ φῶς
ἀνατείλασα ἡμῖν,
χαῖρε, ἡ χωρήσασα
Θεὸν τὸν ἀχώρητον.

74 στερρότερον] ἀνώτερον Σβ 75 τίμιον] ἅγιον Σβ 76-82 vv. hoc trop. supplet Σβ:

Βασανιστήριά σοι
προτεθηκὼς ὁ δυσμενὴς πέφανται
ὡς ἀδρανής·
Χριστῷ γὰρ θαρρήσας
κατέπτυσας τοῦτον
καὶ κρείττων ἐφάνης
ἐλπίδι στονούμενος.

83-89 trop. secundum in Σβ 86 τῇ πίστει] ταῖς σπείραις Σβ 87 ἀπρόσιτος ὤφθεις Σβ 90-96 θεοτ. MR III, 16

79 cfr. Matth. 14,27; Joh. 16,33

f. 86v ‖ ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἀκατάπληκτος ὤφθη Φιλέταιρος
θηριομαχῶν ὑπὲρ σοῦ, ζωοδότα Χριστέ·
σὺ γὰρ αὐτῷ ὑπέταξας
πρὸ ποδῶν καὶ τοὺς θῆρας ὡς πρόβατα.

Πρὸ ποδῶν τοῦ ἁγίου τοὺς θῆρας ὁρῶν
δῆμος παμπληθὴς ἡπλωμένους, ἐβόα σοι·
« μέγας Θεὸς καὶ κύριος
Φιλεταίρου Χριστὸς ὁ ὑπέρθεος ».

Ἐκπεράνας εὐχὴν τὴν ἐξόδιον
προὔτεινας αὐχένα τῷ ξίφει, μακάριε,
διὰ θανάτου· χαίρων γὰρ
πρὸς ζωὴν ἐξεδήμεις τὴν μέλλουσαν.

θεοτ. * Ἀπορία καλύπτει τὸν τόκον σου·
ξένως γάρ, παρθένε, θηλάζεις τὸν ἄσπορον
καὶ γαλουχεῖς τὸν ἄϋλον
καὶ ἀγκάλαις συνέχεις τὸν κτίσαντα.

heirm. ϛ' EE 34, n. 46, Joannis 97 Ἀκατάπληκτος] Ὡς ἀπτόητος Σβ Φιλέταιρε Σβ 99 καὶ τιθασσεύων χάριτι Σβ 100 θῆρας ἀτιθασσεύτους τῇ νεύσει σου Σβ 101 Πρὸ ποδῶν] Τοῖς ποσὶ Σβ 102 ἡπλωμένους] προσδραμόντος Σβ 105-108 trop. om. Σβ, qui autem hoc aliud praebet:

Ἀπορήσας βασάνων ὁ τύραννος,
ξίφει σου τμηθῆναι κελεύει τὴν πάνσεπτον
ὑπὲρ Χριστοῦ, Φιλέταιρε,
κάραν ὁ ματαιόφρων τὴν ἄτιμητον.

109-112 θεοτ. MR V, 291 pro hoc aliud refert Σβ:

Συμπαθείας με θείας ἀξίωσον
ἡ τὸν συμπαθέστατον Λόγον κυήσασα MR III, 437

110 ἄσπορον] ἄποσον MR

101-104 AA.SS. 316 § 8: Τότε πᾶσα ἡ Νικομήδεια ἐκθαμβηθεῖσα, ὡς ἐξ ἑνὸς στόματος εἶπον· οὐδέποτε τοιαῦτα παράδοξα ὤφθη ἐν τῇ πόλει ἡμῶν· ὄντως ὁ ἀνθρώπου τούτου ὁ Θεὸς μέγας ἐστίν.

97-100 cfr. Dan. 6,19

Κάθισμα.

Ἦχος δ΄. *Ταχὺ προκατάλαβε*

Ὁ μάρτυς Φιλέταιρος
καὶ ὁ περίδοξος
καὶ θεῖος Εὐβίωτος,
σὺν Θεοτίμῃ σεμνῇ
ἡμᾶς συνεκάλεσαν·
δεῦτε οὖν εὐφρανθῶμεν
τῇ σεπτῇ αὐτῶν μνήμῃ,
ᾄσμασιν εὐφημοῦντες
τοὺς στερροὺς αὐτῶν ἄθλους,
πρεσβεύουσι γὰρ κυρίῳ
τοῦ οἰκτειρῆσαι ἡμᾶς.

ᾠδὴ ζ΄. *Εἰκόνος χρυσῆς*

Παρθένων χορόν,
Θεοτίμα, τῷ Χριστῷ
ἑξηκοντάριθμον
προκαθαρθέντα δι᾽ ἀσκήσεως
μοναδικῆς προσενήνοχας,
ὅλη σὺν αὐταῖς τῷ κυρίῳ
ἀνατεθεῖσα καὶ ψάλλουσα·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

* Ἡ φλὸξ τοῖς τρισὶν
ἐδροσίζετο παισὶν

κάθ. om. Σβ
heirm. καθ. HR, 63
heirm. ζ΄ EE 39, n. 53, Cosmae 113-121 trop. om. Σβ, pro hoc aliud offert:
Σαρκῶν Δανιὴλ
οὐ κατίσχυσαν ποτὲ MR II, 69
122-130 trop. MR II, 69

122-130 Dan. 3,47-52

ἐν Βαβυλῶνι ποτέ,
τοῖς ἀθλοφόροις δὲ πολύθεος
κατεμαραίνετο κάμινος·
ὅθεν τὴν ἀπάτην ὁρῶντες
ἐκτρεπομένην ἐκραύγαζον·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

* Νομίμως τῆς σῆς
εὐσεβοῦς ὁμολογίας
ὑπερήθλησαν
οἱ ἀθλοφόροι σου αἰκιζόμενοι,
καὶ θεοπνεύστῳ σου χάριτι
σὲ τὴν τρισυπόστατον φύσιν
f. 87 ‖ θεολογοῦντες, ὑπέψαλλον·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ναὸς ἀληθῶς
γεγονυῖα Ἰησοῦ,
τοῦ ἱερέως
τοῦ παμμεγίστου, ἀπειρόγαμε,
ναοὺς ἡμᾶς καινοποίησον
τῆς ὁμοουσίου τριάδος,
τοὺς ἐν πίστει κραυγάζοντας·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

125 δὲ ἡ πολύθεος Σβ MR 128 ἐκτρεπομένην] ἐκτεφρουμένην Σβ τεφρουμένην MR 131-139 Au, κδ΄ - κε΄ vicem trop. hoc aliud implet in Σβ:
Τῷ πόθῳ τῷ σῷ
ἐξιστάμενοι, Χριστέ,
οἱ ἀθλοφόροι σου,
ὥσπερ ἀνάλγητον περικείμενοι
τὸ τῆς σαρκὸς περιβόλαιον,
βασάνων ἀλγεινῶν κατεφρόνουν,
σοῦ ἐντρυφῶντες καὶ λέγοντες
εὐλογητὸς εἶ ⟨ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν⟩.
132 ὁμολογίας εὐσεβοῦς Au 136 σὲ τὴν] μίαν Au 137 ὑπέψαλλον] ἐκραύγαζον Au 140-148 pro hoc θεοτ. aliud habemus in Σβ
Σὲ βάτον Μωσῆς
ἐν τῷ ὄρει τῷ Σινᾷ MR III, 19

ᾠδὴ η'. *Τὸν ἀρρήτῳ σοφίᾳ*

* Μεμηνότων τυράννων
τὴν δυσκάθεκτον καθείλετε μανίαν,
ὦ ἀθλοφόροι,
μελῳδοῦντες διαπρυσίως·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

« Ἀνανεύσατε, πλάνοι,
καὶ ἐπίγνοτε τὸν αἴτιον τῶν πάντων »,

---

heirm. η' ΕΕ 36, n. 48, Joannis alia ode traditur in Σβ
Εἱρμός. Τὸν ἐν καμίνῳ τοῦ πυρὸς ΕΕ 35, n. 47, Joannis
Εἰδωλοκτόνον σε Χριστὸς
ἀναδείξας, τὸν ναὸν
σὺν τοῖς ξοάνοις
διασείσας εἰς κόνιν
καταβαλὼν ἀψευδῆ,
τῆς τούτων προαγγέλλων πτώσεως
τοῖς συνεπομένοις
ἐδείκνυ παραδόξως.
Τῷ τεθνεότι τὴν ζωὴν
ἀποδούς, τὸν δὲ τυφλὸν
σὺν παρειμένῃ
δι' εὐχῆς θεραπεύσας,
βεβαιοτέρους Χριστοῦ
τῇ πίστει βεβαίους κατέστησας
καὶ λαοὺς ὑμνοῦντας
σὺν σοὶ ἐχ — — ´ — .
τριαδ. Ὥσπερ ἡλίοις ἐν τρισὶν
ἑνιαίαν εὐσεβῶς
κατανοοῦντες
ἐχομένοις ἀλλήλοις
τὸ τρισυπόστατον φῶς,
ὑμνοῦμεν τὰ ἔργα τὸν κύριον
καὶ ὑπερ⟨υψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας⟩.
θεοτ. Τὸν ἐν τοῖς κόλποις τοῦ πατρὸς
ἀχωρίστως υἱῷ συγκαθημένῳ (= τε υἱὸν ἐνιδρυμένον Anth) Anth II, σμα'

149-154 trop. MR II, 69 150 καθείλετε μανίαν] ὁρμὴν καταβαλόντες MR 151 ὦ] οἱ MR 152 διαπρυσίως ἐβόων MR 155-160 trop. quasi simile MR II, 70 155 ἀνανεύσατε | ἀνανήψατε MR 156 αἴτιον τῶν πάντων] Θεὸν τὸν ὄντα MR

οἱ ἀθλοφόροι
ἀνεβόων καὶ ἐμελῴδουν·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

* Ῥητορεύειν μηδόλως
μελετήσαντες Χριστοῦ οἱ ἀθλοφόροι,
πνεύματος θείου
ἐμπλησθέντες φαιδρῶς ἐβόων·
« εὐλογεῖτε τὰ ἔργα
κυρίου τὸν κύριον ».

* Τῶν γενναίων μαρτύρων
ὡραιώθησαν τῇ χάριτι οἱ πόδες,
τριάδος μίαν
φύσιν εὐαγγελιζομένων
καὶ βοώντων ἀπαύστως·
« ὑμνεῖτε τὸν κύριον ».

θεοτ. Τὸν τὰ πάντα πληροῦντα
ὑπεδέξω ἐν γαστρί σου, παρθενομῆτορ,
τοὺς ἀπωσμένους
φιλευσπλάγχνως ἀνακαλοῦντα,
« εὐλογεῖτε », βοῶντας,
« τὰ ἔργα τὸν κύριον ».

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Οὐκ ἐξ ἀνθρώπων ἡ κλῆσις
ὠνοματογραφήθη,

157-158 τοὺς τυράννους οἱ ἀθληταὶ μελῳδοῦντες ἐβόων MR 161-166 trop. MR II, 70 162 οἱ Χριστοῦ MR 164 ἀνεβόων MR 167-172 trop. An, κε' 168 τῇ | ἐν An 169 τρισυπόστατον An 171-172 εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον An

heirm. θ' ΕΕ 34-35, n. 46, Joannis hanc aliam oden θ' leges in Σβ:
Συναθλητὴν Φιλεταίρου
τὸν Εὐβίωτον βλέπειν
μὴ φέρων ὁ ἐχθρός, μαρτυρικαῖς
πείραις προβάλλει ταῖς μάστιξιν
καὶ θηρῶν ἀνημέρων

ἀλλ' ἄνωθεν Θεοῦ σοι ἐκ χειρὸς
τοῦ πρὸ νηδύος ὁρῶντός σε
τὸ φιλέτερον ἔχειν
καὶ φρόνιμον καὶ πράξει καὶ βουλῇ·
τῶν ἑταίρων ἡγήσω
διὸ πρὸς τὸ μαρτύριον.

Ὡς ἀδιάλυτον πίστει
καὶ ἐλπίδι καὶ πόθῳ
Θεοῦ τὴν χρυσοτρίπλοκον σειρὰν
μαρτυρικαῖς ἐξαστράπτουσαν
λαμπηδόσι, τοὺς θείους
Φιλέταιρον, Εὐβίωτον ᾠδαῖς,
σὺν καὶ τῇ Θεοτίμᾳ
ἀπαύστως εὐφημήσωμεν.

παλαίειν· καταβάλλει δυσμενεῖς
ἀπαγόμενος σθένος
ὄντως ἀκαταγώνιστον.
Τὸν φωτισμὸν Ἀστερείῳ
πανοικὶ δαδουχήσας,
Εὐβίωτε Χριστοῦ ἱερουργέ,
πλείστους ὡδήγεις πρὸς φῶς ἀπλανὲς
καὶ ἐγγὺς συγχορεύων
ἀγγέλοις πρὸ τῆς λήξεως ὤφθης
ἐν δυνάμεσι τεράτων,
μάρτυς ἀκαταγώνιστε.
Πανευσεβοῦς βασιλέως
Κωνσταντίνου τῷ φόβῳ
λυθῆναι τῆς φθορᾶς τὸν ἀθλητὴν
ἅμα πολλοῖς συναθλοῦσι Χριστῷ
οὐ δοκήσας παρέσχες
στεφάνους ἐπαξίους τῶν ἄθλων,
ἀναιμάκτους τῇ γνώμῃ
μάρτυρας λογισάμενος.
θεοτ. Τοὺς ἐκτελοῦντας (Τοῖς ἐκτελοῦσι cd.), παρθένε
θεοτόκε, τὴν μνήμην
ἐνθέως Φιλεταίρου τοῦ σεπτοῦ
καὶ Εὐβιώτου συμμάρτυρος
καὶ παρθένων συνάθλων
σῶζε ταῖς σαῖς πρεσβείαις πειρασμῶν,
ἵνα πάντες σε ὕμνοις
ἀπαύστως μεγαλύνωμεν.

f. 87v τριαδ. ‖ Ὦ τριὰς μὲν τοῖς προσώποις,
πάτερ, Λόγε καὶ πνεῦμα,
θεότητι καὶ φύσει δὲ μονὰς
τῆς ἑνικῆς κατὰ πίστιν τῶν σῶν
ἀθλοφόρων τριάδος,
εὐχαῖς δυσωπουμένη ἐκτενῶς,
πειρασμῶν τοὺς τὸ κράτος
ὑμνοῦντάς σου διάσωσον.

θεοτ. * Νύμφη καὶ μήτηρ παρθένε,
τῶν ἁγίων τὰ πλήθη
τὸν σὸν καθικετεύοντα υἱὸν
δέξαι, ἡ μόνη ἐλπὶς τῶν πιστῶν,
καὶ εἰρήνην τῷ κόσμῳ,
νίκας τῷ φιλοχρίστῳ βασιλεῖ
καὶ ἡμῖν σωτηρίαν
τοῖς σὲ ὑμνοῦσι βράβευσον.

203-210 θεοτ. MR II, 71   204 σὺν ἀγγέλων χορείαις MR   205 τὸν σὸν υἱὸν ἱκέτευσον, ἁγνὴ MR   206 δέξαι] πάντων MR   207 καὶ] τὴν MR   210 βραβεῦσαι τοῖς ὑμνοῦσί σε MR

IN SS. THEODOTUM ET SEPTEM VIRGINES

Synaxarium, 693: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδότου καὶ τῶν σὺν αὐτῷ ἁγίων ἑπτὰ παρθένων καὶ γυναικῶν, ⟨ὧν τὰ ὀνόματα⟩ Τεκοῦσα, Ἀλεξανδρία, Κλαυδία, Φαεινή, Εὐφρασία, Ματρώνα, Ἰουλία καὶ Θεοδότη. Αὗται ὑπῆρχον ἐξ Ἀγκύρας τῆς Γαλατίας. Ὁ δὲ ἅγιος Θεόδοτος γαμετῇ προσομιλήσας, οὐ τῇ περὶ ταύτην ἀσχολίᾳ τῆς θεοσεβείας ἠμέλει, ἀλλ᾽ ἐν σχήματι ἐμπορικῆς μεταπωλικῆς σῖτον ὠνούμενος καὶ ἄρτους φυρῶν τῷ τε Θεῷ προσῆγεν καὶ τοῖς δεομένοις ἐπεχορήγει, διὰ τὸ τὸν μιαρὸν Θεότεκνον τὸν ἄρχοντα προστάξαι ἐκ τῶν εἰδωλοθύτων τὰ εἰς τροφὴν τοῖς χριστιανοῖς παρασκευαζόμενα ἐπιρραίνεσθαι. Ἀλλὰ καὶ ἐν ταῖς φυλακαῖς εἰσιὼν τοὺς καθειργμένους πιστοὺς ἐπεστήριζε καὶ μετεδίδου τούτοις τροφῆς, ἐξ ὧν ἦσαν καὶ αἱ ἅγιαι ὀκτὼ παρθένοι, ὧν μία, ἡ λεγομένη Τεκοῦσα, ὑπῆρχεν αὐτοῦ θεία· αἵτινες λίθοις προσδεθεῖσαι ἐναπερρίφησαν τῇ παρακειμένῃ λίμνῃ. Καὶ λαβὼν ὁ Θεόδοτος τὰ λείψανα αὐτῶν ἐντίμως ἐκήδευσε, καὶ διαφανεὶς ἐκρατήθη· καὶ τιμωρηθεὶς πολλὰ καὶ ξεσθεὶς καὶ ὀξάλμῃ μετ᾽ ὀστράκου συντριβεὶς καὶ πάλιν ξεσθεὶς καὶ τὰς σιαγόνας συνθλασθεὶς τὴν διὰ ξίφους ὑφίσταται ἐκτομήν. Τὰ δὲ λείψανα τῶν παρθένων ὁ παράνομος ἄρχων ἐξενεγκὼν πυρὶ παραδίδωσι.

Reg. gr. 65	= Lr,	ff. 33v-35v
Mess. gr. 121	= Mh,	ff. 185-186v
Vat. gr. 1510	= Vs,	ff. 274-275v
Paris. Suppl. gr. 564	= Sd,	ff. 106-111v
Paris. gr. 1574	= Pu,	ff. 184-186v

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος δ΄.

ᾠδὴ α΄. *Ἄισωμεν τῷ κυρίῳ*

Ἄισωμεν τῷ κυρίῳ
τῷ τὴν ἀνθρώπων ἀσθένειαν

tit. Μηνὶ τῷ αὐτῷ (μαΐῳ) ιη΄ τοῦ ἁγίου μάρτυρος Θεοδότου τοῦ ἐν Ἀγκύρᾳ καὶ τῶν ἁγίων ἑπτὰ παρθένων καὶ τῶν ἁγίων μαρτύρων Πέτρου, Διονυσίου καὶ τῶν σὺν αὐτοῖς Sd Pu Ὁ κανὼν τοῦ ἁγίου μάρτυρος (= Θεοδότου Pu) καὶ τῶν ἁγίων γυναικῶν (= καὶ τῶν σὺν αὐτῷ Pu) Sd nomen Γεωργίου om. cdd. e litteris capitalibus θεοτοκίων deducitur.

heirm. α΄ EE 95, n. 134, Germani trop. hoc ordine praebet Pu II, I, III ⟨IV⟩V 2 ἀνθρώπων] ἀνθρωπίνην Pu

κατὰ τοῦ ἀοράτου
ἐχθροῦ ἐνισχύσαντι
καὶ νίκαις στεφανώσαντι.

Θεόδοτον, ἀθλοφόρε,
κράτος λαβών, ἀπροσμάχητος
πολεμίοις ἐδείχθης,
Θεόδοτε ἔνδοξε,
αὐτοὺς κατατροπούμενος.

Ἁγνείας κάλλει ἐνθέῳ
κεκοσμημέναι εἰς στάδιον
καθάπερ εἰς νυμφῶνα,
παρθένοι, εἰσέδυτε,
ὑμνοῦσαι τὸν νυμφίον Χριστόν.

Τὰ πάθη δι᾽ ἐγκρατείας
προσυποτάξασαι, ἔνδοξοι,
τοὺς τυράννους γενναίᾳ
ἀθλήσει ἐτρέψασθε
καὶ νίκαις ἐδοξάσθητε.

θεοτ. Γεγόναμεν, θεοτόκε,
διὰ τοῦ τόκου σου ἅπαντες
κοινωνοὶ θείας δόξης
οἱ πόθῳ δοξάζοντες
μητέρα σε τοῦ πάντων Θεοῦ.

ᾠδὴ γ΄. *Ἐν κυρίῳ Θεῷ μου*

f. 34 ‖ Ἐν κυρίῳ Θεῷ σου
δυναμωθείς, μάρτυς Θεόδοτε,
ἐχθροὺς ἀντικειμένους
τῇ ἀληθείᾳ ἐξουδένωσας.

6 Θεόσδοτον Lr Mh Vs Pu Sd 7 ἀπροσμάχητον Lr Mh 11 κάλλεσιν Mh 12 εἰς τὸ στάδιον Pu 14 παρθένοις συνέδεισε Lr εἰσέδυτε | εἰσήλθατε Pu 15 ὑμνούσαις Lr 16-20 trop. om. Mh Vs Sd Pu 24 v. om. Lr 25 μητέρα τοῦ τῶν ὅλων Θεοῦ Vs σε om. Mh τοῦ πάντων] τοῦ τῶν ὅλων Mh τῶν ὅλων Sd

heirm. γ΄ EE 104, n. 146, Germani 26 σου] μου Vs

11-15 Matth. 25,1-10.

Τὸ γεῶδες τῆς σαρκὸς
δι' ἐγκρατείας ἀποθέμεναι,
πρὸς ὕψος, ἀθλοφόροι,
τὸ τῆς ἀθλήσεως ἀνέπτητε.

Ταῖς θωπείαις τῶν ἐχθρῶν
τὴν ἀκοὴν μὴ ὑποκλίνασαι,
ἀθλήσατε μονίμως
νόμων ἐνθέων ὑπακούσασαι.

θεοτ. Ἐν τῇ πέτρᾳ, παρθένε,
τῆς σῆς ἐλπίδος ἑδραιούμενοι,
οὐδόλως τρικυμίαις
τῶν πειρασμῶν κατασειόμεθα.

---

32 ἀθληφόροι Sd 33 ἀπέπτητε Lr ἀντέστητε Vs ἔπτητε Sd 34 τοῦ ἐχθροῦ Pu 36 νομίμως Vs 37 νόμων ἐθνῶν ἐπακούσασαι Mh νόμον ἔνθεον Sd 40-41 κραυγάζομεν βοῶντες/χαῖρε ἡ μόνη πανύμνητος in margine alia manu scripsit in Lr

post oden γ' sequitur in Vs Pu κάθ. *ἦχος δ'*·

Σήμερον τὰ τῶν ἀγγέλων στρατεύματα
ἐν τῇ μνήμῃ τῶν ἀθλοφόρων παραγέγονε PaR, 292

aliud καθ. sequitur in Pu:

ἦχος πλ. δ' Ἀνέστης ἐκ νεκρῶν

Ἑπτάφωτος χορὸς
τῶν μαρτύρων ἀστράπτει
τὰ πέρατα τῆς γῆς
σελαγίζουσα φέγγει
σκότος πολυθεΐας
ἀποδιώκει ἐκ μέσου, θαύματα
πάμπολλα ἐκτελοῦσα
καὶ τὰς ἰάσεις πιστοῖς τῇ χάριτι
τῇ ἐκ Θεοῦ παρέχουσα ἡμῖν
τοῖς τούτοις προστρέχουσιν.

et ⟨θεοτ.⟩

Ἡ νοητὴ πύλη
τῆς ζωῆς ἡμῶν,
ἄχραντε θεοτόκε PaV, 330

in Sd sequitur κάθ.:

ἦχος δ' Ταχὺ προκατάλαβε

Τοῖς πᾶσι διάκονος
πνεύματι θείῳ χρισθεὶς
γεγένησαι, ἔνδοξε,
καὶ ἐναθλήσας στερρῶς,
μεγάλως δεδόξασαι·
ὅθεν σε συνελθόντες,

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας*

Σὺ ἐν αἵμασιν ἀθλητικοῖς
καθάπερ ἐν θαλάσσῃ
τοὺς διώκτας, μάρτυς, βυθίσας,
εἰς ἀκήρατον λῆξιν
κατεσκήνωσας ὑμνῶν
Χριστὸν τὸν στεφοδότην.

Ὑπερέλαμψεν ὁ εὐκλεὴς
χορὸς τῶν ἀθλοφόρων,
τῶν ἑπτὰ φρονίμων παρθένων,
πολυφώτους λαμπάδας
διανάψας καὶ Χριστοῦ
χωρήσας εἰς νυμφῶνα.

Τὰ ἀμήχανα κάλλη Χριστοῦ
ποθοῦσαι, ἀθλοφόροι,
πλούτου καὶ τιμῆς ἐπικήρου
ἐβδελύξασθε δόξαν,
διὰ τοῦτο σὺν χοροῖς
ἀγάλλεσθε ἀγγέλων.

Θεόδοτε, τιμῶμεν
πίστει ἐπιτελοῦντες
τὴν ἁγίαν σου μνήμην,
ἐν ᾗ ταῖς ἱκεσίαις ταῖς σαῖς
πάντας περίσωζε.

alterum κάθ.:

Μαρτύρων ἐν αἵματι
καλλωπιζόμενοι MR V, 119

θεοτ. Ἡ μόνη κυήσασα
τὸν ποιητὴν τοῦ παντὸς MR I, 232

et σταυροθεοτ.

Παρθένε πανάμωμε, μήτηρ Χριστοῦ
τοῦ Θεοῦ, ῥομφαία MR V, 199

heirm. δ' EE 105, n. 148, Andreae σῆς om. EE 46 ὑμνῶν] ὑμῶν Sd 52-53 διανάψασαι εἰς Χριστοῦ θεῖον νυμφῶνα Sd 52 Χριστὸν Vs 54-59 trop. om. Sd

---

42-47 cfr. Ex. 15,27-28 48-53 cfr. Matth. 25,1-10

θεοτ. Ὡς διάδημά σε νοητὸν
παρθένοι ἀθλοφόροι
ἔχουσαι ἐν σοί, θεοτόκε,
ἐγκαυχῶνται, ὑμνοῦσαι
τὸν υἱόν σου καὶ Θεὸν
νυμφίον καὶ δεσπότην.

ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς*

Ἐκ τοῦ κρατῆρος, σοφέ,
τῆς ψυχῆς σου προχέων
οἶνον διδασκαλίας,
τὰς καρδίας ηὔφρανας
τῶν εὐσεβῶν, Θεόδοτε ἔνδοξε.

f. 34v ‖ Τῆς ἐγκρατείας, σεμναί,
πιανθεῖσαι τῇ δρόσῳ,
ἄνθη τὰ τῆς ἁγνείας
νοητῶς ἠνθήσατε
καὶ τοῦ Χριστοῦ εὐωδία ὤφθητε.

Τὰ τῆς σαρκὸς ἀλγεινὰ
ὡς τρυφὴν αἱ παρθένοι
διὰ τὸν τοῦ δεσπότου
πόθον λογιζόμεναι,
ὑπὲρ αὐτοῦ γενναίως ἐνήθλησαν.

θεοτ. Ῥυσθέντες πλάνης, ἁγνή,
τῆς εἰδωλομανίας
τῷ τόκῳ σου τῷ θείῳ,
σὲ ὑμνοῦμεν, ἄχραντε,
τῶν ἀγαθῶν αἰτίαν καὶ πρόξενον.

---

heirm. ε' EE 104, n. 146, Germani 69 εὐφράνας Mh εὔφρανας Pu 73 τὰ ἄνθη τῆς ἁγνείας Lr Sd Pu 82 τῆς εἰδώλων μανίας Vs 85 τῶν ἀγαθῶν] γεναγαθῶν Mh

---

74-75 II Cor. 2,15

ᾠδὴ ϛ'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

Ὥσπερ λιμένα σε θεῖον
οἱ πιστοί, Θεόδοτε, εὑράμενοι,
τὰς τῶν δυσσεβῶν τρικυμίας
ἐξέκλιναν ὑμνοῦντες
τὸν κυβερνήτην Χριστόν.

Τῇ ἀγαπήσει τοῦ κτίστου
φυσικὴν δυναμοῦσαι ἀσθένειαν,
τοὺς ὑπερφυεῖς, ἀθλοφόροι,
ἀγῶνας ὑπὲρ τούτου
καλῶς ἠνύσατε.

Τῆς ἑπταφώτου λυχνίας
ἰσαρίθμους λαμπάδας ἀνάψασαι,
ὥσπερ ἐν νυμφῶνι, παρθένοι,
εἰσήλθετε εἰς σκάμμα
τὸ τῆς ἀθλήσεως.

θεοτ. Γῆ τῆς ἀρᾶς λυτρωθεῖσα
τῆς ἀρχαίας, παρθένε, τῷ τόκῳ σου,
σὺν τοῖς ἐν αὐτῇ κατοικοῦσιν
αἰτίαν εὐλογίας
ἀεὶ γεραίρει σε.

ᾠδὴ ζ'. *Ὁ ἐν τῷ ὄρει Μωσῇ συλλαλήσας*

Μηχανουργίας τῶν ἐχθρῶν, ἀθλοφόρε,
σοφίᾳ τῇ τοῦ πνεύματος ἐξελέγχων,

---

heirm ϛ' EE 103, n. 145, Joannis
heirm. in Lr *Ὡς τὸν προφήτην* posterior manus scripsit 86 λιμῶνα Lr 93 ἀθληφόροι Sd 94 τούτους Vs 95 καὶ διηνύσατε Mh Vs 96 ἑπταφώτου] ἑπταρίθμου Pu 97 ἀνάψασαι λαμπάδας Vs 101 Γῆ] Σὺ Lr Τῇ Mh Ἡ Sd 102 τοῦ τόκου σου Lr 104 αἰτίας Vs
heirm. ζ' EE 104, n. 146 Germani

96-100 Matth. 25,1-10.

τῆς τούτων πλάνης ἔσωσας
συναθλητῶν τὴν ὁμήγυριν.

Τῶν ἀκηράτων ἀγαθῶν τῇ ἀγάπῃ,
παρθένοι, πτερωθεῖσαι τὰς διανοίας,
διὰ ἀγώνων ἤρθητε
πρὸς αὐτὰ ἀνυμνοῦσαι Χριστόν.

f. 35 ‖ Τοῦ τῆς κακίας εὑρετοῦ, ἀθλοφόροι,
οὐδόλως τῇ ἀπάτῃ ὑποκλιθεῖσαι,
σῶαν τοῦ κτίστου, ἔνδοξοι,
τὴν ἐντολὴν ἐτηρήσατε.

θεοτ. Ἰδεῖν τὴν δόξαν τοῦ ἐκ σοῦ γεννηθέντος
καὶ ταύτης ἐντρυφῆσαι μετὰ μαρτύρων
τοὺς σὲ ὑμνοῦντας, ἄχραντε,
τοῦτον ἀεὶ καθικέτευε.

ᾠδὴ η'. *Τὸν βασιλέα Χριστὸν*

Τὸν εὐεργέτην Χριστὸν
ἔχων, Θεόδοτε,
ἐν ἀθλήσεως πόνοις
φρουροῦντα καὶ κρατύνοντα

Mh ordine et textu differt trop., quae integra huc referimus:
α' (Ἡ) τῶν ἀκηράτων ἀγαθῶν τῇ ἀγάπῃ,
παρθένοι, πτερωθεῖσαι τὰς διανοίας,
δι' ἀγώνων ἤρθητε
πρὸς αὐτὰ ἀνυμνοῦσαι Χριστόν. (cfr. vv. 110-113)
β' Μηχανουργίας τῶν ἐχθρῶν, ἀθλοφόροι,
οὐδόλως τῇ ἀπάτῃ ὑποκλιθεῖσαι,
σῶαν τοῦ κτίστου, ἔνδοξοι,
τὴν ἐντολὴν ἐτηρήσατε. (cfr. vv. 115-117)
Vs ex contrareo haec trop. tradit:
I Νόσους δεινὰς καὶ πάσας μαλακίας MR V, 116
II Δαιμονικὰς ἐφόδους ἀπελαύνεις MR V, 116
III Τῶν ἀκηράτων ἀγαθῶν τῇ ἀγάπῃ

112 δι' ἀγώνων cdd., sed διὰ scripsi metri causa 114-117 trop. om. Mh Vs 114 ἀθληφόροι Sd 115 ἀγάπῃ Lr 118 τὴν] τὸν Mh 119 ταύτῃ Sd
heirm. η' EE 104, n. 146, Germani 122 Χριστὸν] Θεὸν Vs

ἀεί σε ἐν παντί,
ὑπερφυεῖς τοὺς ἀγῶνας
ἤνυσας ὑμνῶν αὐτὸν Θεὸν καὶ βασιλέα.

‖ Τῇ εὐωδίᾳ Χριστοῦ
αἱ καλλιπάρθενοι
τὰς ψυχὰς ἡδυνθεῖσαι,
ὀπίσω τούτου ἔδραμον
ἀθλοῦσαι εὐσθενῶς
καὶ ἐν χαρᾷ ἀνεβόων·
« σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς τοὺς αἰῶνας ».

Ὁ καινουργὸς τοῦ παντὸς
σὺ τὴν ἀσθένειαν
ἐδυνάμωσες, Λόγε,
τῆς γυναικείας φύσεως
ἐν ἄθλοις ὡς Θεός·
ὅθεν γενναίως ἀθλοῦσαι
ὕμνουν αἱ παρθένοι σὲ Θεὸν καὶ βασιλέα.

θεοτ. Ὁ θεουργὸς τῆς βροτῶν
φύσεως, ἄχραντε,
ἐκ σοῦ τὴν ἀνθρωπίνην
φορέσας ὡς φιλάνθρωπος
Θεὸς καὶ ποιητὴς
φύσιν, ἀνέπλασεν ἡμᾶς
τοὺς ὑμνολογοῦντάς σε κυρίως θεοτόκον.

ᾠδὴ θ'. *Τὸν ἄσπορον τόκον σου*

Τῆς πλάνης τὰς φάλαγγας
ἐτροπώσω, ἔνδοξε,
δυνάμει τοῦ πνεύματος

127 ὑπερφυεῖ Mh 128 ἤνυσας] ὕμνησας Lr αὐτῶν Sd 129 εὐωδίᾳ] εὐωχίᾳ Vs 131 ἡδυνθεῖσαις Sd 133 ἀθλοῦσαι] ἄθλους Vs ἀθλῆσαι Pu 134 ἀνεβόουν Mh 135 Χριστὸν Lr εἰς πάντας Pu 136-142 trop. om. Sd 137 σοὶ Lr 142 ὑμνοῦν Vs αἱ] σε Vs Θεὸν καὶ βασιλέα] υἱὸν τὸν τῆς παρθένου Pu 143-149 θεοτ. om. Pu 148 ἡμῶν Sd 149 τῶν ὁμολογούντων σε Sd
heirm. θ' EE 104, n. 146, Germani 152 τοῦ om. Pu

καὶ ἔλαβες βραβεῖα
νίκης, Θεόδοτε.

f. 35ᵛ || Ὡς μύρα τὰ θαύματα
διαπνέων, ἅπαντας
μυρίζεις, Θεόδοτε,
τοὺς πίστει σε καὶ πόθῳ
ἀεὶ γεραίροντας.

Τῇ αἴγλῃ λαμπόμεναι
τῇ τῆς καθαρότητος,
ὡραῖα ἐδείξατε
τὰ κάλλη ἐναθλοῦσαι,
καλλιπάρθενοι.

Πρεσβείαν ἐπτάφωτον,
σεμναί, διανάψασαι,
ἡμᾶς ὡδηγήσατε
πρὸς τὸ ἄδυτον φέγγος,
Χριστὸν τὸν κύριον.

θεοτ. Ὑπὲρ πᾶσαν ἔφεσιν
ὁ σὸς πόθος, ἄχραντε,
ὑπάρχων, ὀπίσω σου
ἐφέλκει με ἀπαύστως
σὲ μεγαλύνοντα.

153 βραβεῖον Sd 155-159 trop. om. Pu 160-164 trop. om. Vs 165-169 trop. om. Mh Pu 166 σεμναὶ] σοφαὶ Vs 168 φέγγος] φῶς Sd 169 κύριον] θεὸν Vs Sd 171 πόθος] δοῦλος Pu 172 ὀπίσω σου] καθέλκει με Sd 173-174 τοῦ βοᾶν σοι ἀπαύστως, / χαῖρε δέσποινα Sd 173 καθέλκει Mh Vs με om. Pu 174 σὲ μεγαλύνομεν Lr Vs καὶ ἀσιγήτως σὲ μεγαλύνοντα Pu

20 MAII *CANON* XXIII

IN SANCTUM THALELAEUM

Synaxarium, 697-698: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θαλελαίου. Οὗτος ἦν ἐπὶ Νουμεριανοῦ τοῦ βασιλέως, ὁρμώμενος ἐκ τοῦ Λιβάνου, πατρὸς Βεροκκίου καὶ Ῥωμυλίας μητρός. Ἐν μελέτῃ δὲ γενόμενος τῆς ἰατρικῆς τέχνης, συνεσχέθη ἐν Ἀναζαρβῷ τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ἐν ἐλαιῶνι κρυπτόμενος, καὶ προσάγεται Θεοδώρῳ τῷ ἄρχοντι, ὅς, μὴ πειθομένου αὐτοῦ θῦσαι τοῖς εἰδώλοις, προσέταξε τρυπηθῆναι τοὺς ἀστραγάλους αὐτοῦ καὶ σχοινίοις κατὰ κεφαλῆς ἀναρτηθῆναι αὐτόν. Τοῦτο οὖν δόξαντες οἱ ὑπηρέται ποιεῖν, ἔκ τινος θείας δυνάμεως τὰς φρένας ἀλλοιωθέντες, ξύλον ἀντὶ τοῦ ἁγίου τρυπήσαντες ἀπῃώρησαν. Τύπτονται οὖν ὡς κατὰ τοῦ ἄρχοντος παίξαντες· δύο δὲ ἐξ αὐτῶν Ἀλέξανδρος καὶ Ἀστέριος τὸ παράδοξον ἰδόντες, ἐπίστευσαν τῷ Χριστῷ καὶ τὰς κεφαλὰς ἀποτέμνονται. Ἀπορηθεὶς δὲ ὁ ἡγεμὼν ἐπεχείρησε δι' ἑαυτοῦ τοὺς ἀστραγάλους τρυπῆσαι τοῦ ἁγίου· καὶ ἐν ᾧ ἔμελλε τοῦ θρόνου ἐξαναστῆναι, ἐκολλήθη ὁ θρόνος τοῖς ὀπίσω αὐτοῦ καὶ οὐκ ἠδύνατο ἐξαναστῆναι. Ὃν κατοικτειρήσας ὁ ἅγιος καὶ προσευξάμενος, διαστῆναι ἐξ αὐτοῦ τὸν θρόνον ἐποίησε. Ἐπὶ δὲ τοιούτῳ θαύματι πολλῶν τῷ Χριστῷ πιστευσάντων, ἔμεινεν ὁ τύραννος πεπωρωμένος τῇ ἀπιστίᾳ· καὶ πάλιν ἐπεχείρησε τοῦ διατρυπῆσαι τοὺς ἀστραγάλους τοῦ ἁγίου, καὶ εὐθέως αἱ χεῖρες αὐτοῦ ἐξηράνθησαν. Εἶτα τυχὼν διὰ τοῦ ἁγίου αὖθις ἰάσεως, ἐκέλευσεν αὐτὸν ῥιφῆναι ἐν τῇ θαλάσσῃ· ἐξ ἧς ἐξῆλθεν ἀβλαβής, λευκὴν ἐσθῆτα φορῶν. Μετὰ ταῦτα θηρίοις ἐν τῷ σταδίῳ ἀφίεται· καὶ ἀλώβητος διαμείνας ἐν Ἐδέσῃ τῆς Αἰγαίων πόλεως ξίφει τὴν κεφαλὴν ἀποτέμνεται. Τελεῖται ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι ἔνδον τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου.

Reg. gr. 65 = Lr, ff. 40ᵛ-43
Mess. gr. 121 = Mh, ff. 190ᵛ-192ᵛ
Paris. Suppl. gr. 564 = Sd, ff. 117ᵛ-120ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Βρύεις ἔλαιον, Θαλέλαιε, θαυμάτων.
⟨Ἐν τοῖς θεοτοκίοις⟩· Γεωργίου.

Ἦχος πλ. δ΄.

ᾠδὴ α΄. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν*

Βαφεῖσαν πορφύραν ἀθλητικοῖς
αἵμασιν εὐκόσμως
ἐκκλησία ἡ τοῦ Χριστοῦ
περιβεβλημένη, ἐγκαυχᾶται
ἐν ἀθλοφόροις καὶ σεμνύνεται.

Ῥώμην ἀπροσμάχητον ἐκ Θεοῦ
λαβών, ἀθλοφόρε,
ἐν μυριάσι τῶν ἐχθρῶν
ἠρίστευσας μόνος ἐν ἀγῶσιν
τοῖς τῆς ἀθλήσεως, Θαλέλαιε.

Ὕλην ἀποθέμενος σαρκικὴν
καὶ τὴν τῶν ἀΰλων
πολιτείαν ἐπὶ τῆς γῆς
ἀνύων, Θαλέλαιε, ἀγγέλων
χοροστασίαις συνηρίθμησαι.

θεοτ. Γηγενεῖς τῷ τόκῳ σου ἀπὸ γῆς
πρὸς ὕψος οὐράνιον
ἐπανήχθημεν ἀληθῶς,
ἁγνὴ θεοτόκε, καὶ ἀγγέλων
χοροστασίαις ἠριθμήθημεν.

tit. Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε Mh   acr. nomen Γεωργίου om. Mh Lr
heirm. α΄ EE 220, n. 315, Joannis   3 ἡ ἐκκλησία τοῦ Χριστοῦ Mh   8 τῶν ἐχθρῶν] ταῖς τῶν ἐχθρῶν Sd   τὸν ἐχθρὸν Mh   15 συνηρίθμησας Sd   16 γηγενὴς Lr   17 πρὸς οὐρανοῦ ὕψος Sd   18 ἀνήχθημεν Lr Mh

ᾠδὴ γ΄. *Σὺ εἶ τὸ στερέωμα*

f. 41 Ἔλαιον ἐλίπανεν
τὴν κεφαλὴν τὴν ‖ σήν, ἔνδοξε,
τὸ τοῦ Χριστοῦ·
διὰ τοῦτο πλάνης
οὐ προσήκατο ἔλαιον.

Ἴασιν τὰ αἵματα
πᾶσιν βροτοῖς τὰ σὰ ἔβλυσεν
καὶ ἐκ τῆς γῆς
λύθρα ἀσεβείας
ἀπέπλυνεν, Θαλέλαιε.

Σάρκα καθυπέταξας
τῷ διὰ σὲ σταυρῷ ὁμιλήσαντι,
μάρτυς, Χριστῷ,
καὶ ζωῆς ἀφθάρτου
ἠξιώθης, μακάριε.

Ἔρριπται ὁ τύραννος
ὑπὸ τοὺς πόδας σου, ἔνδοξε,
καταβληθεὶς
τῇ σῇ καρτερίᾳ
καὶ ἐνστάσει, Θαλέλαιε.

θεοτ. Ἔλυσεν ὁ τόκος σου
ἁμαρτιῶν ἡμῶν, ἄχραντε,
τὰς ἐνοχὰς
καὶ δικαιοσύνη
πάντας πιστοὺς συνέδησεν.

heirm. γ΄ EE 224, n. 321, Joannis   24 τούτῳ Mh   25 οὐ προσήκω τὸ ἔλαιον Sd   26 ἴαμα Mh   27 ἔβλυσαν Mh   29 εὐσεβείας Lr   30 ἀπέπλυναν Mh   33 Χριστοῦ Lr Sd   38 κατακλιθεὶς Lr   41-45 θεοτ. om. Mh
post oden γ΄ Sd praebet κάθ. *ἦχος δ΄ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ:*
Φωτοειδὴς ἀναδειχθεὶς ἀθλοφόρος,
τῆς ἀθείας σκοτασμὸν ἀπεκρούσω MR V, 130
et θεοτ.
Οὐ σιωπήσωμεν ποτέ, θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν ER, 208
et σταυροθεοτ. Τὸν ἐξ ἀνάρχου τοῦ πατρὸς γεννηθέντα MR IV, 342; I, 338

21-23 Ps. 44, 8; cfr. Hebr. 1,9   31-35 cfr. Hebr. 12,1-2

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον*

Λαμπρυνθέντα σε, ἔνδοξε,
ἀρετῶν τῇ αἴγλῃ Χριστὸς ἐδέξατο
ἐν σταδίῳ τῆς ἀθλήσεως,
ὥσπερ ἐν νυμφῶνι καὶ ἐδόξασεν.

Ἀνθηρότατον στέλεχος
ἀναδεδομένος, μάρτυς Θαλέλαιε,
ἐν λειμῶνι τῷ τῆς πίστεως,
μαρτυρίου καρποὺς Χριστῷ δέδωκας.

Ἰατρεῖόν σε ἔδωκεν
πᾶσιν ὁ δεσπότης πιστοῖς, Θαλέλαιε,
καὶ ταῖς σαῖς θείαις ἐντεύξεσιν
θεραπεύεις πάθη τῶν ψυχῶν ἡμῶν.

Οἱ κρουνοὶ τῶν αἱμάτων σου
μύρα ἰαμάτων πᾶσι πηγάζουσιν
καὶ ἐλαύνουσιν, Θαλέλαιε,
ἀηδίαν νόσων καὶ τῶν θλίψεων.

θεοτ. Ὡς ἀκένωτον, δέσποινα,
f. 41v σὲ τῶν χαρισμάτων || ταμεῖον ἔχοντες,
τὰς ἀφθόνους δωρεὰς παρὰ σοῦ
τῶν θαυμάτων πάντες ποριζόμεθα.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*

Νέφη ἀλγεινῶν
καὶ βασάνων οὐκ ἐκάλυψαν
τὸ φαιδρὸν τῆς καρτερίας σου·

heirm. δ' EE 225, n. 322, Cosmae   50-53 trop. om. Sd   54 δέδωκεν Lr Sd   55 ὁ δεσπότης πᾶσι Sd   57 θεραπεύει Lr   62-65 θεοτ. om. Mh   62 ἀκαίνωτον Lr
heirm. ε' EE 224, n. 321, Joannis

50-53 cfr. Matth. 12,33

ἐξέλαμψας γάρ,
ἀθλοφόρε, ὑπὲρ ἥλιον.

Θάλλων νοητῶς
ἐν λειμῶνι τῷ τῆς πίστεως,
εὐωδίαν πᾶσιν ἔπνευσας
τοῦ μαρτυρίου,
παναοίδιμε Θαλέλαιε.

Ἅρματι, σοφέ,
κεχρημένος τῆς ἀθλήσεως,
ἀεροπόρος ἀναβέβηκας
πρὸς θεῖον ὕψος
τὸ τῆς χάριτος, Θαλέλαιε.

θεοτ. Ῥύπου ἐμπαθῶν
μολυσμῶν ἀποκαθάρασα
τὴν ψυχήν μου, θεονύμφευτε,
ταῖς σαῖς πρεσβείαις
ἁγνὸν Θεῷ με παράστησον.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

Λατρεύων ζῶντι Θεῷ
καὶ ποιητῇ πάσης κτίσεως,
σεβάσματα βδελυκτῶν
ἀπώσω, Θαλέλαιε·
διό σε ἐδόξασεν
ὁ ἀγωνοθέτης
καὶ ἐν ἄθλοις καὶ ἐν θαύμασιν.

Ἐξέτεινας τοὺς βλαστοὺς
ὥσπερ ἐλαία κατάκαρπος
τῆς καρτερίας, σοφέ,
εἰς ὕψος νοούμενον·

71 Θάλλων] ψάλλων Lr Sd   72 λειμῶνι] λιβάνῳ Mh Sd   73 εὐωδίας Mh   πᾶσαν Sd   81 Ῥύπον ἐκ παθῶν Lr Mh   82 λογισμῶν ἀποκαθαίρουσα Sd   85 ἁγνόν με Θεῷ Sd
heirm ς' EE 220, n. 315, Joannis

διὸ καὶ ἀνέβλυσας
ἔλαιον θαυμάτων
τοῖς πιστοῖς, μάρτυς Θαλέλαιε.

Λαμπάδα τὴν ψυχικὴν
ἐλαίῳ, μάρτυς, Θαλέλαιε,
τῶν ἀρετῶν νοητῶς
κοσμηθεῖσαν, ἔνδοξε,
πυρὶ τῆς ἀθλήσεως
διανῆψας· ὅθεν
εἰς παστάδα θείαν ἔφθασας.

f. 42 θεοτ. ‖ Γεγόναμεν οἱ θνητοὶ
ἀθάνατοι θείᾳ χάριτι
τῷ τόκῳ σου καὶ φθορᾶς
τῆς πρώην ἐρρύσθημεν,
θεοτόκε ἄχραντε,
καὶ τῆς ἀφθαρσίας
τῇ στολῇ κατεκοσμήθημεν.

ᾠδὴ ζ΄. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἀναβὰς εἰς τὸ ὕψος
τῆς Χριστοῦ εὐσεβείας,
μάρτυς Θαλέλαιε,
εἰδώλων ἐβδελύξω
τὴν χαμαίζηλον πλάνην
καὶ ἀπαύστως ἐκραύγαζες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ἱδρυνθεὶς ἐπὶ πέτραν
τῆς τοῦ κτίστου ἀγάπης,
μάρτυς Θαλέλαιε,
βασάνων τρικυμίαις

105 διανήψας Mh Lr
heirm. ζ΄ EE 224 n. 321, Joannis 117 ἐδελλοίξω (sic) Lr 120-121 vv. om. Mh 125 τρικυμίας Mh

οὐδόλως ἐσαλεύθης
τῆς τούτου θείας πίστεως·
καὶ εὐχαρίστως αὐτὸν
ἀνύμνεις εἰς αἰῶνας.

Ἐξ ἀφθόνων ναμάτων
τὴν τοῦ πνεύματος χάριν
ἀπαρυσάμενος
θαυμάτων τοῖς αἰτοῦσιν
ἀφθόνως ταῦτα πᾶσιν
διανέμεις, Θαλέλαιε·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Θαυμαστὸς ὁ ὑπάρχων
ἐν ἁγίοις ἅπασιν,
μόνε φιλάνθρωπε,
θαυμάστωσον, οἰκτίρμον,
πρεσβείαις Θαλελαίου
τὰ πλούσια ἐλέη σου
ἐν τοῖς ὑμνοῦσιν, Χριστέ,
τὴν σὴν οἰκονομίαν.

θεοτ. Ἵνα πάντας ἑλκύσῃ
πρὸς οὐράνιον δόξαν
ὁ ποιητὴς τοῦ παντός,
ἐκ σοῦ, θεογεννῆτορ,
ηὐδόκησε τεχθῆναι
καὶ ἡμῖν ὡς φιλάνθρωπος
καὶ εὐεργέτης Θεὸς
σαρκὶ ἀναστραφῆναι.

128 καὶ] ἀλλ' Sd 129 ἀνύμνεις στεφοδότην Mh ὕμνεις ὡς εὐεργέτην Sd 131 τὸ πνεῦμα Lr 135 διανέμοις Lr Sd 136 ἀναβοῶσιν ἀεὶ Mh 138 ὁ] ὡς Sd 139 ἅπασιν] σου πᾶσιν Lr 146-153 θεοτ. om. Mh 150 εὐδόκησε Sd

138-145 Eph. 2,4-5

ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

Ἀποβαλὼν τὴν ἄστατον
σοφίαν, μάρτυς ἔνδοξε,
τῶν ἐγκαυχωμένων Ἑλλήνων ἐν πλάσμασιν,
τὴν γνῶσιν τὴν ἄπταιστον
καὶ λόγον τὸν ἀσάλευτον
f. 42v τοῦ δεσ‖πότου πάντων καὶ Θεοῦ ἐπεσπάσω,
βοῶν αὐτῷ ἀπαύστως·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ὑπεραρθείς, Θαλέλαιε,
τῶν γηΐνων τῷ πνεύματι
καὶ τὸν ποιητὴν καὶ λυτρωτὴν θεώμενος
νοὸς καθαρότητι,
τὰ ἀλγεινὰ ὑπέμενες
ἐναθλῶν τῇ πίστει ὑπὲρ τούτου καὶ κράζων·
« οἱ παῖδες εὐλογεῖτε,
ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Μαρτυρικοῖς τοῖς αἵμασιν
βάψας στολήν, Θαλέλαιε,
ταύτην περιέθου νοητῶς βασίλειον
ὡς κόσμον καὶ ἅπασιν
τοῖς ἀθληταῖς καὶ μάρτυσιν
ἐν ἐπουρανίοις ταῖς σκηναῖς συγχορεύεις,
βοῶν ἀκαταπαύστως·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

heirm. η΄ EE 219-220, n. 314, Joannis 168 ὑπέμεινας Sd 169 ἐναθλῶν γενναίᾳ τῇ ψυχῇ ὑπὲρ τούτου Mh Sd 170 οἱ παῖδες] καὶ κράζων Mh Sd 171 ἀνυμνεῖτε] τὸν δεσπότην Sd 177 κόσμος Lr 179 συγχορεύων Lr

θεοτ. Ὁ ἐκ μὴ ὄντων ἅπαντα
τῷ λόγῳ συστησάμενος
τὴν καταφθαρεῖσαν τῶν βροτῶν ἐκ σοῦ ἀληθῶς
μορφὴν ἐνεδύσατο
δι' εὐσπλαγχνίαν, ἄχραντε,
ἵνα ἀναπλάσῃ ὡς Θεὸς εὐεργέτης
αὐτὴν ἀναβοῶσαν·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ΄. *Ἔφριξε πᾶσα ἀκοή*

Ἄνθεσι τοῖς τῶν ἀρετῶν,
ἀθλοφόρε, νοητὸν πλέξας στέφανον,
τοῖς τῆς ἀθλήσεως καθάπερ λίθοις
τοῦτον ἐκόσμησας
καὶ ἐκαλλώπισας τερπνῶς,
Θαλέλαιε, στίγμασιν·
ὃν περικείμενος
εἰς οὐράνιον παστάδα ἐχώρησας.

Τέτρωται βέλει νοητῷ
καρτερίας ὁ τιτρώσκων τὸ σῶμά σου
ἐχθρὸς ἀρχέκακος καὶ ἀσθενήσας
εἰς γῆν κατέπεσεν·
σὺ δὲ ῥωννύμενος ψυχήν,
πρὸς ὕψος, Θαλέλαιε,
ἤρθης οὐράνιον
f. 43 ἀνυμνῶν τὸν δυ‖ναμοῦντά σε κύριον.

---

186 σάρκα ἀνθρωπίνην ἀπὸ σοῦ ἀνέλαβεν Sd 187 ὁ μόνος ἀθάνατος Sd 190 ἀναβοῶσα Lr

heirm. θ΄ EE 222, n. 317, Joannis 194 τοῖς] νῦν Sd 198 τερπνοῖς Sd 206 σοὶ Lr Mh

---

184-185 II Petr. 3,5; Ps. 23,1-2

Ὤφθησαν ἴαμα πιστοῖς
τῶν αἱμάτων αἱ ῥοαί σου, Θαλέλαιε,
νόσους ἐκπλύνουσαι καὶ θεραπείας
νάματα βρύουσαι
καὶ πυρπολοῦντα ἀλγεινὰ
σβεννύουσαι χάριτι
τοῦ στεφοδότου Χριστοῦ
καὶ τοὺς τοῦτον ἀνυμνοῦντας δροσίζουσιν.

Νόησιν πᾶσαν γηγενῶν
αἱ τῶν ἄθλων ἀμοιβαί σου, Θαλέλαιε,
ὑπερανέχουσαι ὑπερελπίδας,
χάριτας βρύουσιν·
αἷς καὶ ἡμᾶς τοὺς εὐσεβῶς
καὶ πιστῶς γεραίροντας
τὰ σὰ παλαίσματα
ἐκ καρδίας αἰτουμένους ἐπίσκεψαι.

θεοτ. Ὕψωσον, δέσποινα, ἐκ γῆς
τῆς ψυχῆς μου τὸ χαμαίζηλον φρόνημα
πρὸς τὸν ὑπέρφωτον καὶ θεῖον πόθον
τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ,
ἵνα τῷ ἔρωτι αὐτοῦ
ἀεὶ πυρπολούμενος
καὶ ἀλλοιούμενος
πρὸς αὐτὸν δι' ἀρετῆς ἀναφέρωμαι.

213 νάματα] θαυμάτων Sd 217 καὶ τοὺς τούτων πόνους δροσίζουσι Mh καὶ τοὺς... δροσίζουσαι Sd 219 ἀμοιβαί σου] ἀμειβοῦσαι Sd 226 ἐκ γῆς] ἁγνὴ Sd 233 ἀναφέρωμεν Mh ἀναφέρομε Lr

IN SANCTUM BASILISCUM

Synaxarium, 699-702: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βασιλίσκου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ, χωρίου Χουμιάλων τῆς ἐνορίας Ἀμασείας, ἀνεψιὸς τοῦ ἁγίου καὶ ἐν μάρτυσι μεγίστου Θεοδώρου τοῦ τήρωνος. Προαθλήσας δὲ μετὰ τοῦ ἁγίου Εὐτροπίου καὶ Κλεονίκου, οἳ ἦσαν συστρατιῶται τοῦ ἁγίου Θεοδώρου, κατελείφθη ἐν τῇ φυλακῇ, ἐκείνων τὸ ὑπὲρ Χριστοῦ τελειωσάντων μαρτύριον. Ἐπιθυμίαν δὲ ἔχων τὸν τῆς ἀθλήσεως δρόμον τελέσαι καὶ ὑπὲρ τούτου δεόμενος τοῦ Θεοῦ, καταξιοῦται τῆς τοῦ Κυρίου ἐπιφανείας. Καὶ δὴ μετὰ τῶν στρατιωτῶν ἀπελθόντων ἐν τῷ οἴκῳ αὐτοῦ, τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς ἀσπασάμενος καὶ τῇ εἰς Χριστὸν πίστει ἐμμένειν αὐτοῖς παραινέσας ὅσον οὔπω συνελήφθη ὑπὸ τῶν ἀποσταλέντων αὐτῷ στρατιωτῶν παρὰ Ἀγρίππα τοῦ ἡγεμόνος· ⟨οἳ⟩ δεσμήσαντες αὐτὸν καὶ κρηπῖδας σιδηρᾶς ἔνδοθεν ἥλοις πεπυκνωμένας ὑποδήσαντες, ἤλαυνον τὴν εὐθὺ Κομάνων ὁδόν. Καταλαβόντες δὲ τὸ χωρίον Δακῶν, ηὐλίσθησαν παρά τινι γυναικὶ καλουμένῃ Τραϊανῇ· καὶ προσεδέθη ὁ ἅγιος πλατάνῳ ξηρᾷ εἰς τοὐπίσω τὰς χεῖρας περιηγμένος· καὶ εὐξάμενος νεοθαλῆ καὶ κομῶσαν τὴν πλάτανον ἔδειξεν, καὶ πηγὴ ὕδατος ἐκ τῶν τῆς γῆς ἀνεδόθη λαγόνων, ἔνθα ὁ ἅγιος ἵστατο. Ἰδόντας δὲ τοῦτο τοὺς στρατιώτας ἅμα τῇ γυναικί, παρ' ᾗ κατέλυον, πιστεῦσαί φασιν τῷ Χριστῷ καὶ λῦσαι τὸν ἅγιον τῶν δεσμῶν· καταλαβόντα δὲ αὐτὸν τὴν πόλιν Κόμανα παραστῆναι τῷ ἡγεμόνι, καὶ μὴ πεισθέντα θῦσαι ἀλλὰ διὰ προσευχῆς ἐξ οὐρανοῦ πῦρ καταγαγόντα, δι' οὗ ὅ τε τῶν εἰδώλων ναὸς καὶ ἡ ἀνδριὰς τοῦ Ἀπόλλωνος κατεφλέχθη, ἀσχέτῳ θυμῷ ληφθῆναι τὸν ἡγεμόνα καὶ προστάξαι ξίφει τὴν αὐτοῦ ἀποτμηθῆναι κεφαλὴν καὶ ἐν τῷ ποταμῷ τὸ σῶμα αὐτοῦ ῥιφῆναι. Οὗ γενομένου τὸν τῆς μαρτυρίας στέφανον ἀνεδήσατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον τοῦ Στροβιλίου.

Reg. gr. 65 = Lr, ff. 47-49
Mess. gr. 121 = Mh, ff. 195-196v

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις· Γεωργίου[υ]⟩.

Ἦχος γʹ.

ᾠδὴ αʹ. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τῆς βασιλείας τῶν οὐρανῶν ἐραστήν σε
καὶ Χριστοῦ θεράποντα καὶ ἀθλοφόρον
δοξάζει ἡ ἐκκλησία τοῦ Θεοῦ
καὶ εὐφημεῖ σου τὰ ἆθλα, Βασιλίσκε.

Ἐν τῷ λειμῶνι, τῆς Χριστοῦ ἐξανθήσας,
ἀθλοφόρε, πίστεως, τὴν εὐωδίαν
διέπνευσας τὴν τῆς ὁμολογίας
αὐτοῦ καὶ πάντας καθήδυνας ἀνθρώπους.

Τοῦ βασιλέως τῶν οὐρανῶν, Βασιλίσκε,
ἐπὶ γῆς φραξάμενος τοῖς θείοις ὅπλοις,
τὸν ἄρχοντα τοῦ ἀέρος γενναίως
καὶ τοὺς αὐτοῦ ἐπολέμησας συμμάχους.

θεοτ. Γεωργηθέντα τῶν ἀρετῶν εὐφορίαις,
θεοτόκε ἄχραντε, ἐν ἀποθήκαις
ταῖς ἄνω με συγκομίσαις, ἐν αἷς
δοξολογήσω τὴν θείαν σου πρεσβείαν.

ᾠδὴ βʹ. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

Ἤμβλυνας πολεμίων τὰ τόξα
τῇ στερροτάτῃ, Βασιλίσκε, ἀνδρείᾳ.

---

nomen Γεωργιου e litteris capitalibus θεοτοκίων deducitur Mh mutilum tradit canonem
heirm. αʹ EE 78, n. 110, Germani
heirm. βʹ EE 78, n. 110, Germani

9-12 Eph. 2,2

f. 47v ‖ Ἔλαμψας ὑπὲρ ἥλιον, μάρτυς,
τῆς ἀθεΐας καὶ πλάνης ἐν σκοτίᾳ.

Ἔτεμες κεφαλὰς τὰς τοῦ ψεύδους
ἐν τῇ μαχαίρᾳ, μάρτυς, τῆς ἀληθείας.

θεοτ. Ἔβλυσεν ποταμοὺς ἀφθαρσίας
ὁ σός, παρθένε, τόκος τοῖς σὲ ὑμνοῦσιν.

ᾠδὴ γʹ. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Ἐστερεώθης ἐπὶ ἄσειστον, ἀθλοφόρε,
τῆς Χριστοῦ ἀγάπης στερρᾶς βεβαίας
καὶ τοὺς διώκτας ἐδόνησας
τῇ ἐνστάσει σου.

Ἐν τῇ ἀθλήσει θεοδώρητον δυναστείαν
συνεργίᾳ, ἔνδοξε, Θεοδώρου
τοῦ ἀθλοφόρου δεξάμενος,
γενναίως ἤθλησας.

Τῶν ἀσεβούντων ὑπερήφανον, ἀθλοφόρε,
φρόνημα κατέβαλες τῇ μιμήσει
τῇ τοῦ Χριστοῦ, ταπεινούμενος
καὶ ἀνυψούμενος.

θεοτ. Ὡς ἁλουργίδα, θεοτόκε, ὁ βασιλεύς σου
τὴν ἁγίῳ πνεύματι ὑφανθεῖσαν
ἐκ τῶν ἀχράντων αἱμάτων σου
σάρκα ἐνδέδυται.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ἐν τοῖς λόγοις σου, ἔνδοξε,
τὸ κράτος ἔχων τῆς ἀληθείας,

---

heirm. γʹ EE 78, n. 110, Germani 35 hic canon incipit in Mh 37 σου] μου Mh 38 ἁγίῳ πνεύματι om. Mh
heirm. δʹ deest inter heirmos ἤχου γʹ nam ad ἦχον πλ. δʹ tribuitur EE 231, n. 331, Andreae (cfr. canon in XVII maii p. 201) κύριε heirm. om. edd.

33-36 Filip. 2,5 10

τὰ ἀνίσχυρα ἐνίκησας
τῆς ἀπάτης τῆς τοῦ ἐχθροῦ μηχανήματα.

Τῆς τριάδος ἐλλάμψεσιν,
μάρτυς κυρίου, πεφωτισμένος,
τὸ πολύθεον ἐξέφυγες
τῆς ἀπάτης σκότος· διό σε γεραίρομεν.

Βασιλείας ὑπέρλαμπρον,
μάρτυς, διάδημα ἀνεδύσω,
τῆς ἀθλήσεως τοῖς στίγμασιν,
Βασιλίσκε, καθάπερ λίθοις κοσμούμενος.

θεοτ. Ῥαντισθέντες τῷ αἵματι
f. 48 τοῦ σαρκω‖θέντος ἐκ σοῦ, παρθένε,
τὴν ῥυπῶσαν ἀπεθέμεθα
ἁμαρτίαν καὶ ἀφθαρσίαν ἐλάβομεν.

ᾠδὴ ε΄. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, υἱὲ τοῦ Θεοῦ,*

Τὸν σαρκωθέντα, ἔνδοξε, υἱὸν τοῦ Θεοῦ
ἐκ τῆς πανάγνου παρθένου ἐπεπόθησας
καὶ ὑπὲρ τῆς ἀγάπης,
Βασιλίσκε, τῆς αὐτοῦ στερρῶς ἐνήθλησας.

Τῆς ἀκενώτου χάριτος υἱοῦ τοῦ Θεοῦ
ὡς ἐκ πηγῆς ἀρυσάμενος τὰ θαύματα,
πᾶσιν τοῖς αἰτοῦσιν
δαψιλῶς ταῦτα προχέεις, μεγαλώνυμε.

Τὸν φωτοδότην κύριον ἐν καρδίᾳ, σοφέ,
ἔχων ἀεί, Βασιλίσκε ἀοίδιμε,
τὸ σκότος τῆς ἀπάτης
καὶ τὰ νέφη τῶν βασάνων ὑπεξέφυγες.

43 τὸ ἀνίσχυρον Lr 44 τῆς ἀπάτης σκότος· διό σε γεραίρομεν Lr (cfr. v. 48) 45-48 trop. om. Lr 55 ἀπεθέμεθαν Lr
heirm. ε΄ EE 78, n. 110, Germani 60 στερρὸς Lr 61 υἱοῦ] Χριστοῦ Lr 62 ἀρυσώμεθα Lr 68 καὶ om. Lr

θεοτ. Γνόντες τὸν πλαστουργήσαντα ἡμᾶς, πανάχραντε,
τῆς ἀγνωσίας τὸ σκότος ἀπεθέμεθα
τῇ θείᾳ σου γεννήσει
καὶ φωτὶ υἱοθεσίας κατελάμφθημεν.

ᾠδὴ ϛ΄. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Τῆς ἀθεΐας τοὺς τριστάτας
κατεπόντισας, ἀοίδιμε,
ἐν τῷ πελάγει τῆς στερρᾶς
καρτερίας καὶ ἀνδρείας σου,
αὐτὸς δὲ δι᾽ ὑδάτων
πρὸς οὐρανὸν
ἀνέδραμες, εὐλογῶν τὸν δεσπότην.

Τὸ πῦρ κατέσβεσας τῆς πλάνης,
Βασιλίσκε, τῶν αἱμάτων σου
διειδεστάτοις ποταμοῖς
καὶ ἐπήγασας ἰάματα
ἐκ τούτων τοῖς βοῶσιν·
« σῶσον, σωτήρ,
ὡς ἔσωσας τοῦ θηρὸς τὸν προφήτην ».

Τῆς συγγενείας, ἀθλοφόρε,
Θεοδώρου ἐβεβαίωσας
τῷ ὁμοτρόπῳ τῆς ψυχῆς
παραστήματι τὸ γνήσιον,
ἀθλῶν ὑπὲρ τοῦ κτίστου
καὶ ἀνυμνῶν
τὴν ἀπόρρητον αὐτοῦ εὐσπλαγχνίαν.

θεοτ. Ἴδεν ἡ κτίσις, θεοτόκε,
ὑπὲρ ἔννοιαν μυστήρια
ἐν τῇ κυήσει σου, ἁγνή,

70 ἀπεθέμεθα] τῆς ἀπάτης Lr
heirm. ϛ΄ EE 78, n. 110, Germani 78 ἡ πρὸς οὐρανὸν Mh 86 v. om. Lr 87-93 trop. om. Lr 94 Ἴδεν pro εἶδεν acrost. causa οἶδεν Lr

73-79 cfr. Ex. 15,4-5

f. 48v
τὸν Θεὸν ἐναν‖θρωπήσαντα
καὶ φύσεως τῆς θείας
καὶ παντουργοῦ
τὸν ἄνθρωπον κοινωνὸν γεγονότα.

ᾠδὴ ζ′. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Τοῖς ὄμβροις τῶν εὐχῶν σου,
Βασιλίσκε, κατέσβεσας
τῶν βασάνων ὑψουμένην τὴν ἀκάθεκτον
φλόγα καὶ ἀνεβόας·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Τεμνόμενος τῷ ξίφει,
Βασιλίσκε, ἀπέτεμες
κεφαλὰς τῶν δυσφημούντων εἰς τὸν πάντων Θεόν,
ᾧ ἀπαύστως ἐβόας·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ἀνύστακτον τὸ ὄμμα
τῆς ψυχῆς σου πρὸς κύριον
συντηρῶν, ἐν τῇ ἀθλήσει τῇ χρονίᾳ, σοφέ,
οὐ κατενύσταξας, βοῶν·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ.
Ὁ πάντα περιέπων
τῇ παλάμῃ ὡς κύριος
σαρκωθεὶς δι᾽ εὐσπλαγχνίαν ἀπόρρητον,

100 τὸν ἀνθρωποκτόνον γεγονότα Lr
heirm. ζ′ EE 79, n. 111, Germani: in suum locum refert Lr *Παῖδας εὐαγεῖς*, quem ut oden η′, ἦχ. δ′, Joanni tributum in EE 100, n. 141, invenimus. 106 v. om. cdd. 107-112 trop. om Lr 113 τὸ om. Lr 116 οὐκ ἀπενύσταξας Lr 118 v. om. Lr 119 περιέπων] περιέχων Lr

101-106 cfr. Dan. 3,47-50

ἐκ σοῦ, πανάχραντε ἁγνή,
περιγραφῆναι καθ᾽ ἡμᾶς
οὐκ ἀπηξίωσεν.

ᾠδὴ η′. *Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων*

Τῶν ἐπὶ γῆς τὴν προσπάθειαν πᾶσαν
ἀπαρνησάμενος,
τὸν δεσπότην τῶν ὅλων,
μάρτυς, ἐπεπόθησας
ὡς Θεὸν καὶ σωτῆρα,
τὸν ἄφθαρτον πλοῦτον
παρέχοντα ἁγίοις.

Πῦρ νοητὸν ἐν καρδίᾳ τοῦ πόθου
ἔχων Χριστοῦ τοῦ Θεοῦ,
πῦρ ὁρώμενον, μάρτυς,
οὐδόλως κατέπτηξας,
ἀλλ᾽ ἄθλων ἀνεβόας·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Σὺ τοὺς βωμοὺς τῶν εἰδώλων δονήσας
τῇ καρτερίᾳ σου,
Βασιλίσκε, ἀνθρώπων
ψυχὰς ἐπεστήριξας
τοῦ Χριστοῦ ἐν τῇ πίστει,
ἀνυμνολογοῦντας
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ.
Ὑπὸ τῆς σῆς φρουρουμένους πρεσβείας,
θεοκυῆτορ,
καταξίωσον ἡμᾶς
τὴν ὁδὸν ἀπρόσκοπτον

heirm. η′ EE 78, n. 110, Germani: in suum locum Mh *Τὸν ἐν μορφῇ ἀγγέλου* (EE 97, n. 137, Joannis in ἦχος δ′) refert 125 Τὸν Lr 135 κατέπληξας Mh 136 ἀλλὰ Mh 138 v. om. cdd. 142 ἐπεστέρησας Mh 144 ἀνυμνολογούσας Mh 149 ἀπρόσκοπον Mh

τῆς παρούσης ἀνύσαι
βιοτῆς καὶ ἄξαι
σεσωσμένους τῷ κτίστῃ.

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

f. 49 ‖ Σὺ τὸ γεηρὸν τοῦ σαρκίου
ἀποθέμενος βάρος
δι' ἀθλήσεως, σοφέ,
πρὸς τὸν δεσπότην,
Βασιλίσκε, θείοις
πτεροῖς ἀνελήλυθας.

Στήλη καρτερίας ἀνθρώποις,
ἀθλοφόρε, ἐτέθης,
φεγγομένη εἰς ἀεὶ
τοὺς σοὺς ἀγῶνας
καὶ εἰς ζῆλον αὐτῶν,
Βασιλίσκε, ἐγείρουσα.

Σὺ τῷ βασιλεῖ τῶν αἰώνων,
Βασιλίσκε, γενναίως
παριστάμενος ἀεὶ
σὺν Θεοδώρῳ,
ὑπὲρ τῶν εὐφημούντων
ὑμᾶς ἱκετεύσατε.

θεοτ. Ὑπερπλεονάζουσα χάρις
τῶν ἀφθόνων θαυμάτων
τῶν σῶν, ἄχραντε, ἀεὶ
ἀρδεύει πάντας
τοὺς πιστῶς σε μητέρα
Θεοῦ μεγαλύνοντας.

---

151 ἄσαι Mh α . ασε Lr
heirm. θ' EE 79, n. 111, Germani 163 εἰς ζῆλον τὸν αὐτὸν Lr
164 διεγείρουσα Mh 170 καθικετεύσατε Mh ἡμᾶς Lr 173 ἀεὶ] ἁγνὴ Lr

24 MAII *CANON XXV*

IN SANCTUM MELETIUM

Synaxarium, 705-706: Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μελετίου τοῦ στρατηλάτου καὶ Ἰωάννου καὶ Στεφάνου κομήτων καὶ τοῦ πλήθους τῶν σὺν αὐτοῖς μαρτυρησάντων μυρίων χιλίων διακοσίων ὀκτὼ σὺν γυναιξὶ καὶ τέκνοις. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον κατὰ τοὺς χρόνους Ἀντωνίνου τοῦ βασιλέως. Ὁ δὲ τρόπος τῆς ὑπὲρ Χριστοῦ αὐτῶν μαρτυρίας γέγονεν οὕτως . . . . . Τοῦτο δὲ ὁ ἅγιος Μελέτιος γνοὺς λαβὼν μεθ' ἑαυτοῦ στρατιώτας καὶ συνεργοὺς ἔχων ἀγγέλους, τοὺς κύνας ἐνέκρωσεν, ὧν οἱ δαίμονες ὑπέδυσαν τὰς μορφάς· καὶ τούτων ἀναρρήξαντες τὰς γαστέρας ἐμφανεῖς κατέστησαν πᾶσιν τὰς ἐν αὐτοῖς κρυπτομένας τῶν δαιμόνων μορφὰς ἐν σχήματι ἀσπίδων καὶ ὄφεων, ὧν τοὺς τύπους ὑπέδυσαν. Ἀλλὰ καὶ τὰ ἐν τῷ ναῷ τῶν ἀσεβῶν ἐνιδρυμένα ξόανα καὶ γλυπτὰ πάντα διὰ προσευχῆς ὁ ἅγιος κατέβαλε Μελέτιος. Τούτου δὲ γενομένου, ὁ ἡγεμὼν Μάξιμος ἀποστείλας στρατιώτας κατέσχεν αὐτὸν καὶ τοὺς σὺν αὐτῷ. Καὶ ἐπεὶ προσήχθησαν τῷ ἡγεμόνι καὶ θῦσαι τοῖς εἰδώλοις προτραπέντες οὐκ ἐπείσθησαν, πρῶτον μὲν ξύλοις σκληροῖς τύπτονται ἐπὶ ὥρας ἱκανάς, εἶτα ξέονται τὰς πλευρὰς καὶ σιδηραῖς σφύραις τοὺς ἀστραγάλους πλήσσονται καὶ καθηλοῦνται ξύλοις τοὺς πόδας. Τὸ δὲ ὄμμα πρὸς τὸν Κύριον ἔχοντες καὶ τῶν πληγῶν μὴ δοκοῦντες αἰσθάνεσθαι, ὀγκίνοις τὰς πλευρὰς διορύττονται καὶ πάλιν σιδηραῖς σφύραις τοὺς ἀστραγάλους πλήσσονται· εἶτα τὰ μέτωπα τύπτονται, ἐν οἷς τὴν τοῦ Χριστοῦ σφραγῖδα ἐποίουν. Πολλὰς δὲ καὶ ἄλλας ὑποστάντες βασάνους, ὧν ἑκάστη ἀφόρητον εἶχε τὴν ἀλγηδόνα καὶ τὸν πάσχοντα κατήπειγε πρὸς τὸν θάνατον, ὁ μὲν ἅγιος Μελέτιος ἐν πεύκῃ κρεμασθεὶς καὶ καθηλωθεὶς τέλος τῶν καμάτων εὗρε καὶ ἀρχήν, πέρας μὴ ἔχουσαν τῆς ἐν Χριστῷ δόξης καὶ ἀναπαύσεως· Στέφανος δὲ καὶ Ἰωάννης τὰς κεφαλὰς ἀποτέμνονται. Σαραπίων δὲ ὁ ἐξ Αἰγύπτου ἄρτι παραγενόμενος καὶ πιστεύσας τῷ Χριστῷ διὰ τὰ παρὰ τῶν ἁγίων γενόμενα θαύματα καὶ βαπτισθεὶς καὶ ὑπὸ ἀγγέλου τὴν χειροτονίαν δεξάμενος τοῦ ἐπισκόπου, ἅμα Καλλινίκῳ τῷ μάγῳ, ὃς κατὰ τοῦ ἁγίου κεράσας φάρμακα θανατῶσαι αὐτὸν οὐκ ἴσχυσε καὶ διὰ τοῦτο ἐπίστευσε τῷ Χριστῷ, ἀφαιροῦνται ξίφει τὰς κεφαλάς . . . . . Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Πλάτωνος τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις.

Crypt. Δ.α. IX = Cl, ff. 111-112v

Ὁ κανών· ποίημα Γερμανοῦ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

Εἰ καὶ θνητῷ καὶ ἀνόμῳ
βασιλεῖ ἐδούλευσας,
τῷ βασιλεῖ τῶν ὅλων Θεῷ
εὐσεβῶς ἐλάτρευσας,
Μελέτιε μακάριε.

Θείαν μελέτην μανθάνων
καὶ τηρῶν Χριστοῦ ἐντολάς,
φερωνύμως, μακάριε,
καὶ ἑτέρων γέγονας
ἀνδρείας ὑποτύπωσις.

Πατριαρχῶν καὶ πατέρων,
ἀθλοφόρε ἔνδοξε,
τοὺς βίους ἐκμιμούμενος,
τὸν Χριστὸν ἠγάπησας
καὶ τούτῳ εὐηρέστησας.

θεοτ. Ἡ ἐν γαστρὶ συλλαβοῦσα
τὸν Θεόν, πανάμωμε,
ἱκέτευε σωθῆναι ἡμᾶς
πάσης περιστάσεως
τοὺς πόθῳ ἀνυμνοῦντάς σε.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Μελέτιον
τὸν σοφὸν ἀθλοφόρον
σὺν τοῖς συνάθλοις αὐτοῦ εὐφημήσωμεν.

tit. Κανὼν τῇ ἑσπέρᾳ ψαλλόμενος τοῦ ἁγίου μάρτυρος Μελετίου καὶ τῶν σὺν αὐτῷ
heirm. α' EE 226, n. 324, Germani
heirm. β' deest inter exempla τοῦ ἤχου πλ. δ', sed inter illa ipsum invenimus τοῦ ἤχ. πλ. β'. EE 168, n. 236, Germani

Ἀξίωμα
ἐν οὐρανοῖς κεκτημένος,
ἐπιγείου στρατιᾶς κατεφρόνησας.

Προσήγαγες
σεαυτόν, ἀθλοφόρε,
μετὰ πλήθους ἀθλητῶν τῷ Θεῷ ἡμῶν.

Ἱκέτευε
τῷ σωτῆρι τῶν ὅλων,
Μελέτιε ἀθλητά, τοῦ σωθῆναι ἡμᾶς.

θεοτ. Ἄχραντε
θεοτόκε παρθένε,
ἱκέτευε ἐκτενῶς τοῦ σωθῆναι ἡμᾶς.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*

Ἀθέου προστάγματος
ἐξελθόντος πανταχοῦ,
δι' ἐνθέων σου, ἔνδοξε,
ῥημάτων κατήσχυνας
λογισμοὺς τῶν τυράννων,
f. 111v ‖ ἐλέγχων, Μελέτιε,
τὰ αὐτῶν προβλήματα.

Τὰς σὰς προσδεξάμενος
ὡς Ἐζεκίου προσευχάς,
τὸν αὐτὸν ὁ Θεὸς ἡμῶν
ἀπέστειλεν ἄγγελον,
δι' οὗ ὑπεναντίους
ἀνεῖλεν, Μελέτιε,
ὡς Ἀσσυρίους πρότερον.

Τὸν ἔλεον ἐσέμνυνας
ἐν φρονήσει παλαιᾷ

heirm. γ' EE 226, n. 323, Germani

43-49 IV Regn. 20,3-6

ῥητορεύων, Μελέτιε,
Χριστὸν τὸν Θεὸν ἡμῶν·
τὴν σοφίαν γὰρ ἔσχες
ἐν σοὶ κατοικήσασαν,
μάκαρ ἀξιάγαστε.

θεοτ. * Ὡς πύλην σωτήριον
καὶ παράδεισον τερπνὸν
καὶ φωτὸς ἀϊδίου
νεφέλην ὑπάρχουσαν,
τὴν ἁγίαν παρθένον
ὑμνήσωμεν, λέγοντες
ἅπαντες τὸ « χαῖρε » αὐτῇ.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

Τὰ ᾧδε παριδών,
τὰ μέλλοντα ποθήσας,
ὅλον ἑαυτὸν
ἐπέδωκας τοῖς ἄθλοις,
ὡς διὰ τούτων πιστεύων
ὅτι λαμβάνεις
τὴν ἀτελεύτητον ἀπόλαυσιν.

Ἐν λόγοις προτροπῇ,
ἐν ἔργοις δὲ τὸ πλέον
ὤφθης ἀληθῶς,
Μελέτιε θεόφρον,
τοῖς συνοδίταις τῇ πίστει σου
συστρατεύσας
τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ.

Χαίρων ἐν δεσμοῖς
καὶ θλίψεσι καὶ πόνοις,
ἐν τοῖς διωγμοῖς,

55 κατωκοίσασαν 57-63 θεοτ. TR, 669 62 λέγοντες] ἅπαντες TR
63 ἅπαντες [λέγοντες TR
heirm. δ' EE 224, n. 321, Joannis

Μελέτιε, παρέστης,
οὐχ ὑπερθέμενος πάντα
τοῦ ὑπομένειν
διὰ Χριστὸν ὅνπερ ἠγάπησας.

θεοτ. * Χαῖρε τοῦ Θεοῦ
εὐρύχωρον χωρίον,
χαῖρε, κιβωτὲ
τῆς νέας διαθήκης,
χαῖρε, ἡ μόνη ἀντίληψις
τῶν ἀνθρώπων,
εὐλογημένη θεοτόκε ἁγνή.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Σῶμα, ψυχὴν καὶ πνεῦμα
ἐν τελειότητι πίστεως ἔδειξας,
πάνσοφε Μελέτιε,
καὶ δι' ἀμφοτέρων δοξάζεις Θεόν.

Θαυματουργῶν ἐν ἄθλοις
ἐκ θεϊκῶν χαρισμάτων, Μελέτιε,
τοὺς ἀπίστους ἔτρεψας,
τῶν δὲ πιστῶν καρδίας ἐστήριξας.

f. 112 || Τὰς τῆς ψυχῆς αἰσθήσεις
τῇ τοῦ Χριστοῦ ἐπιγνώσει ἐκόσμησας
καὶ οὕτω κατεπάτησας
εἰδώλων τὸ ἀναίσθητον, ἔνδοξε.

θεοτ. * Ὡς βασιλίδα πάντων
καὶ βασιλέα τῶν ὅλων κυήσασαν,
δεῦτε σὺν τῷ ἀγγέλῳ
τὴν εὐλογημένην ὑμνήσωμεν.

85-91 θεοτ. PaR, 634 89 μόνη ἀντίληψις] ἔγχρυσος στάμνος PaR
90 ἐξ ἧς τὸ μάννα PaR 91 πᾶσιν ἐδόθη τὸ οὐράνιον PaR
heirm. ε' EE 226, n. 323, Germani 104-107 θεοτ. An, λα' 107 ὑμνή-
σωμεν | τιμήσωμεν An

100-103 cfr. II Petr. 2,20

ᾠδὴ ς΄. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Ἐτέλεσας τὸν δρόμον ἀκλινῶς,
τὴν πίστιν τετήρηκας,
λοιπόν σοι καὶ στέφανος
δικαιοσύνης ἐν Χριστῷ, μάρτυς, ἀπόκειται.

Τελοῦντες Μελετίου οἱ πιστοὶ
τὴν μνήμην, δοξάσωμεν
Χριστὸν τὸν δοξάσαντα
καὶ αὐτὸν καὶ τὴν τούτου συνοδίαν φαιδρῶς.

τριαδ. Δοξάσωμεν πατέρα καὶ υἱὸν
καὶ τὸ πνεῦμα τὸ ἅγιον,
τριάδα ἀχώριστον
ἐν μονάδι προσκυνοῦντες οὐσιότητος.

θεοτ. Τὸν Λόγον συλλαβοῦσα τοῦ πατρὸς
ἀνάνδρως, πανάχραντε,
ἀτρέπτως ἐκύησας
σεσαρκωμένον ἐπὶ γῆς Θεὸν καὶ ἄνθρωπον.

Κάθισμα.

Ἦχος πλ. δ΄. *Τὴν σοφίαν τοῦ Λόγου καταμαθὼν*

Μελετήσας ἐμφρόνως
νόμον Θεοῦ,
μέσον ἤχθης ἀνόμων,
μάρτυς, κριτὸς
καὶ πᾶσαν ὑπέμεινας
ἀλγηδόνα τοῦ σώματος

heirm. ς΄ EE 224, n. 321, Joannis
heirm. καθ. MR III, 572

108-111 II Tim. 4,7-8

καὶ πολλοὺς τῷ Λόγῳ
ἐτέλεσας μάρτυρας,
μιμησαμένους πίστει
τὸν δρόμον σου, πάνσοφε·
ὅθεν σὺν ἐκείνοις
τῷ δεσπότῃ παρέστης,
τῶν πόνων ἐπάξια
κομισάμενος ἔπαθλα,
ἀθλοφόρε Μελέτιε,
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
⟨τοῖς ἑορτάζουσι πόθῳ τὴν μνήμην σου⟩.

ᾠδὴ ζ΄. *Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας*

Ὁ παραστὰς
βοηθὸς τῷ ἁγίῳ
ἐν πειρασμοῖς
καὶ θλίψεσι ποικίλαις
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Μελέτιον
τὸν σοφὸν ἀθλοφόρον
τιμήσωμεν
οἱ πιστοὶ καταχρέως,
Χριστῷ βοῶντες· « εὐλογητὸς εἶ,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ἀναλαβὼν
τὸν σταυρὸν τοῦ σωτῆρος,
κατέβαλες
τῶν εἰδώλων τὴν πλάνην,
κραυγάζων, μάρτυς· « εὐλογητὸς εἶ,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

heirm. ζ΄ EE 226, n. 323, Germani

127 ποικίλοις

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ
τὸν Ἀδὰμ ἀναπλάσας
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

f. 112ᵛ ‖ ᾠδὴ η'. *Τὸν ἄναρχον βασιλέα τῆς δόξης*

Οὐκ ἔπτηξας
τὸν θυμὸν τοῦ τυράννου,
πανένδοξε
ἀθλοφόρε γενναῖε,
Χριστὸν ἐκ δεξιῶν
προβλέπων ἐν σταδίῳ
ἀνδρείαν σοι διδοῦντα.

Ἀνέτειλεν
ἡ ἐτήσιος μνήμη
τοῦ μάρτυρος,
ὥσπερ ἥλιος κόσμῳ
ἐκλάμπουσα ἡμῖν
ἀκτῖνας μετανοίας
διὰ τοῦ μαρτυρίου.

θεοτ. * Ὡς ἔντιμον
καὶ ὑπέρτατον θρόνον
ὑπάρχουσαν
τοῦ Θεοῦ τοῦ ὑψίστου,
ὑμνήσωμεν, λαοί,
τὴν μόνην μετὰ τόκον
μητέρα καὶ παρθένον.

142-147 θεοτ. MR V, 116
heirm. η' ΕΕ 229 n. 328, Germani 162-168 θεοτ. MR V, 192
165 τοῦ ὑψίστου | τὴν μητέρα MR 168 παρθένον φυλαχθεῖσαν MR

ᾠδὴ θ'. *Μεγαλύνομέν σε*

Τὸν τῆς εὐσεβείας
λογικὸν φωστῆρα πίστει ὑμνήσωμεν
Μελέτιον μάρτυρα,
Χριστὸν μεγαλύνοντες.

Πρὸς Θεὸν ὡς μάρτυς
κεκτημένος παρρησίαν, Μελέτιε,
πρεσβείαις σου αἴτησαι
χάριν ταῖς ψυχαῖς ἡμῶν.

Τοὺς τὴν σὴν τιμῶντας
θείαν μνήμην, ἀθλοφόρε Μελέτιε,
ῥῦσαι ταῖς πρεσβείαις σου
πάσης περιστάσεως.

θεοτ. Μακαρίζομέν σε
τῶν ἀνθρώπων γενεαί, παμμακάριστε,
ῥῦσαι πάσης θλίψεως,
ἁγνή, τοὺς οἰκέτας σου.

---

heirm. θ' ΕΕ 226, n. 323, Germani

IN SANCTUM TIMOTHEUM PRUSSAE EPISCOPUM

Synaxarium, 709^{54}-712^{51} (*): Ἐν ταῖς ἡμέραις Ἰουλιανοῦ τοῦ παραβάτου, κυπάρισσός τις ἵστατο ἰθυτενὴς καὶ τερπνὴ ἐν λεωφόρῳ τινὶ μέσον κειμένη τῶν θερμῶν τῆς πόλεως Προύσης. Δράκων δὲ μέγιστος ἐκ τοῦ σπηλαίου ἐξερχόμενος ἐκεῖ που ἔγγιστα ὄντος, συχνότερον προσήδρευε τῇ κυπαρίσσῳ, καὶ ἦν ὁ τοιοῦτος τόπος φόβου μεστὸς καὶ μικροῦ δεῖν καὶ ἀδιόδευτος. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον βασίλισσά τις πιστὴ ᾠκοῦσα εἰς Ἀπολλωνιάδα, ἦλθε πρὸς τὸ θέμα τῆς Προύσης. Καὶ μαθόντες τοῦτο οἱ πλησίον ὄντες ἀδελφοί, εὐλογίας τινὰς ἀπεστάλκασι διὰ Τιμοθέου τῇ βασιλίσσῃ. Καταλαβόντος δὲ τὴν κυπάρισσον, ἀνέστη ὁ δράκων ὑπαντῆσαι αὐτῷ. Ὁ δὲ προσευξάμενος μετέβαλε τὰς εὐλογίας εἰς τὸ πτερύγιον τοῦ παλλίου αὐτοῦ καὶ τὸ ἱερὸν ἄπλωμα αὐτοῦ εἰς ἓν συσφίγξας ἐν τῇ χειρί, ἐσφενδόνησε κατὰ τοῦ θηρίου· καὶ οὕτως ἀπῆλθε, καὶ δοὺς τὰς εὐλογίας ὑπέστρεψε. Καὶ εὑρὼν τὸ θηρίον νεκρὸν ἐδόξασε τὸν Θεόν. Καὶ λαβὼν τὸ ἱερὸν ἐκεῖνο ὕφασμα ὑπέστρεψεν ἐν τῇ μονῇ αὐτοῦ. Τούτου οὖν τοῦ θαύματος πανταχοῦ ἐξηγηθέντος, ἐσέβοντο τὸν μακάριον ὅσα καὶ οἰκεῖον Θεοῦ θεράποντα. Ὅπερ ἀκούσας ὁ δυσσεβὴς βασιλεύς, ἀποστείλας πρὸς αὐτόν, ἠνάγκαζεν ἀρνήσασθαι τὸν Χριστόν. Ὁ δὲ ἀληθινὸν Θεὸν ὁμολογῶν τὸν Χριστόν, τὴν κεφαλὴν ἀπετμήθη.

Crypt. Δ.α. IX = Cl, ff. 112^{v}-115
Paris. gr. 1575 = Pv, ff. 113-114
Paris. gr. 245 = Px, pp. 38-41
Paris. gr. 1567 = Rb, ff. 23^{v}-24^{v}
Paris. gr. 1576 = Rd, ff. 29-31
Vat. gr. 1558 = Vx, ff. 42^{v}-47^{v}
Vat. gr. 2069 = Vb, ff. 201-203

Ὁ κανών.

Ἦχος γ'.

ᾠδὴ α'. *Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τῷ ἀνατείλαντι ὡς ἑωσφόρον ἀστέρα,
τὸν ἱερὸν Τιμόθεον τῇ ἐκκλησίᾳ

(*) Synax. Selecta in die 26 maii
tit. Μηνὶ τῷ αὐτῷ (ἰουνίῳ) ι' τοῦ ἁγίου ἱερομάρτυρος Τιμοθέου ἐπισκόπου Προύσης Pv Px Rb Rd Vx   τοῦ ἁγίου ἱερομάρτυρος Τιμοθέου ἐπισκόπου Προύσης καὶ τοῦ ἁγίου μάρτυρος Μελετίου καὶ τῶν σὺν αὐτῷ Vb   Ὁ κανὼν εἰς τὸν ὄρθρον Cl Vb
heirm. α' EE 78, n. 110, Germani   1 ὡς om. Pv Px Rd Vx 2 τῆς ἐκκλησίας Px Rb Rd Vx

ἐκλάμποντα τῶν θαυμάτων ταῖς αὐγαῖς
ᾄσωμεν ᾆσμα Θεῷ τῶν ἀσωμάτων.

Ἡ ἀξιύμνητος τοῦ θεομάρτυρος μνήμη
πνευματικὴν πανήγυριν τῇ ἐκκλησίᾳ
προτίθεται τῆς ἀθλήσεως αὐτοῦ,
πρὸς εὐωχίαν τὰ πλήθη συγκαλοῦσα.

f. 113 ‖ Τὸ ἀκηλίδωτον τῆς πολιτείας σου, μάρτυς,
τὸ σταθερὸν τῆς πίστεως προεζωγράφει,
ὁ ζῆλος δὲ τῆς ἐνθέου σου ψυχῆς
τὴν εὐτολμίαν τοῦ νοῦ προδιετύπου.

Τὴν σεβασμίαν σου καὶ καλλιστέφανον κάραν
ὡς ζωηρὸν θησαύρισμα πάντες τιμῶμεν,
Τιμόθεε, ἱεράρχα τοῦ Χριστοῦ
καὶ τῆς ἀΰλου τραπέζης ὑπηρέτα.

Ἐπιφερόμενος τοὺς τῆς προθέσεως ἄρτους,
τὸν ἐπελθόντα δράκοντα, μάρτυς, ἀθρόως
κατέδησας μὴ προβαίνειν καὶ εὐθὺς
σοῦ τὸ ἐπίταγμα ἔργον ἐγεγόνει.

θεοτ. Τὸν οὐρανώσαντα τὴν γεηρὰν ἡμῶν φύσιν
ἐν τῇ γαστρί σου, δέσποινα θεογεννῆτορ,
ἱκέτευε ὡς φιλάνθρωπον Θεὸν
τοῦ εἰρηνεῦσαι τὸν κόσμον εἰς αἰῶνας.

3 ταῖς om. Pv   3-4 ᾄσωμεν τῷ σωτῆρι Χριστῷ / ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας Pv Px Rb Vx   5 τοῦ θεομάρτυρος μνήμη] μνήμη τοῦ ἱεράρχου Px Rb Rd Vx   9-12 trop. om. Px Rb Rd Vx   12 νοῦ] ναοῦ Vb   προανετύποι Pv   13-16 trop. om. Px Rb Rd Vx   15 τοῦ om. Vb   16 καὶ ὑπηρέτα Vb   18 ἐπεθόντα Vb   19 καὶ εὐθὺς] τοῖς ἔμπροσθεν Px Rd Vx   τοῖς πρόσω Rb   20 σοῦ] καὶ Px Rb Rd Vx   γεγόνει Vx   21-24 pro hoc θεοτ. aliud praebet Pv:
Ὑπερφυῶς ἐν τῇ γαστρί σου, παρθένε,
ὁ Θεὸς ἐσκήνωσε δι' εὐσπλαγχνίαν,
γενόμενος δι' ἡμᾶς καθ' ἡμᾶς
καὶ ἐξ ἡμῶν ἀναδείξας σε μητέρα.
et aliud Px Vx: Τὴν μητέρα σου, Χριστέ, θεοτόκον
οἱ πιστοὶ δοξάζομεν ἀκαταπαύστως
ὡς πρεσβεύουσαν ὑπὲρ πάντων ἡμῶν
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων. (— τῶν om. Vx)

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ἀνέτειλεν
τοῦ ἱεράρχου ἡ μνήμη
φεγγοβολοῦσα τῇ αἴγλῃ τῶν θαυμάτων.

Συνώνυμος
τοῦ μαθητεύσαντος Παύλῳ,
μάρτυς, φανεὶς καὶ ὁμότροπος ἐγένου.

Τὸ κάλυμμα
τῶν τῆς προθέσεως ἄρτων,
πάτερ, προσρίψας, τὸν δράκοντα ἀνεῖλες.

Ἐλάτρευσας
τῷ παντοκράτορι, μάρτυς,
τῇ θεοπνεύστῳ τραπέζῃ λειτουργήσας.

Ἐπέστρεψας
τὴν βασιλίδα πρὸς γνῶσιν
τῆς ἀληθείας ταῖς θείαις διδαχαῖς σου.

Ἱκέτευε
ὑπὲρ ἡμῶν τὸν σωτῆρα,
μεγαλομάρτυς, ὡς ἔχων παρρησίαν.

Εἰρήνευσον
ὁ Θεὸς ταῖς πρεσβείαις
τοῦ ἱεράρχου τὸν κόσμον ὡς οἰκτίρμων.

θεοτ. Τὴν ποίμνην σου,
θεογεννῆτορ Μαρία,
ταῖς σαῖς πρεσβείαις παντὸς κινδύνου ῥῦσαι.

---

oden β' om. Pv Px Rb Rd Vx
heirm. β' EE 78, n. 110, Germani   39 διδαχοῦς σου Vb

28-30 Act. 16,1-5

ᾠδὴ γ'. *Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ*

Ἀγγελικὴν ἀξίαν ἐνειλημμένος
Ἀαρὼν ὡς πάλαι ἐπὶ τῇ πίστει,
ἀνδραγαθίαις διέπρεψας,
μάρτυς τίμιε.

f. 113v ‖ Τῇ βασιλίσσῃ γέγονας νέος Παῦλος,
ὥσπερ Θέκλαν ταύτην αἰχμαλωτίσας
εἰς τὴν ἀγάπην τοῦ κτίστου σου,
ὦ Τιμόθεε.

Μωσαϊκῆς τετύχηκας παρρησίας·
τῇ γὰρ ῥάβδῳ, μάρτυς, τῆς πίστεώς σου
ἐχθρὸν τὸν ὄφιν ἐνέκρωσας,
ἀπολιθώσας φωνῇ.

Ταῖς ἱεραῖς τῶν ἄθλων σου ἀριστείαις
τὴν ψυχὴν κοσμούμενος στεφανοῦσαι·
διὸ πρεσβεύων πρὸς κύριον,
μνήσθητι πάντων ἡμῶν.

θεοτ. Τὴν ἑαυτοῦ βασίλειον ἁλουργίδα
ὁ υἱός καὶ κτίστης σου, θεοτόκε,
ἐκ τῶν ἀχράντων αἱμάτων σου
βάψας ἐφόρεσεν.

---

heirm. γ' EE 78, n. 110, Germani   49-60 trop. om. Px Rb Rd Vx
49 ἀγγελικὴν] δαυϊτικὴν Pv   50 ὥσπερ ἄλλος Στέφανος Pv   51 διέτρεψας Vb ἀνδραγαθήσας Pv   52 τίμιε] Τιμόθεε Pv   53 βασιλίδι Pv   56 ὦ] νέε Pv
60 φωνῇ] αὐτὸν Pv φωνῆς Vb   61-64 trop. om. Pv   63 ἱερομάρτυς Τιμόθεε Px Rb Rd
ante θεοτ. haec trop. invenimus in Px Rb Rd Vx:
Τῆς θεομύστου σου, πάτερ, ἱερουργίας (= ἱεραρχίας Px) (σου om. Rd)
ἐν χερσὶ τοὺς ἄρτους ἐπικομίζων
τὸν ἐπιστάντα σοι δράκοντα (= ἐπιστάντα σοι om. Rb)
λόγῳ κατέδησας.
Τὸ ἱερόν σου στόμα κρατὴρ ἐδείχθη
τῆς σοφίας, ἅγιε, τῆς (= τῆς om. Vx) ἀρρήτου,
ἐξ ἧς πιὼν προσέδραμες (= ἐξ οὗ πιοῦσα προσέδραμε Rb)
τῷ οὐρανίῳ Θεῷ.
66 θεομῆτορ Pv Px Rb Rd Vx   67 σου om. Vb   68 ἐφόρεσας Rd

49-52 Ex. 4,27-31   57-60 Ex. 4,1-5

ᾠδὴ δ'. *Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην*

Ὡς ἠρίστευσας
κατὰ τῆς πλάνης, ἱερομάρτυς,

---

post oden γ' haec κάθ. legimus in Px Rd Vx: hoc post oden ς' in Pv
κάθ. Τὰ κατορθώματα τῆς πολιτείας σου
πάντων φωτίζουσι τὰ διαβήματα MR VI, 388
et θεοτ. in Vx: Ὡς ἀγεώργητος, παρθένε, ἄμπελος
τὸν ὡραιότατον βότρυν ἐβλάστησας MR IV, 38
et ὅμοιον Τὸν ἐπονείδιστον, οἰκτίρμον, θάνατον
διὰ σταυρώσεως ἑκὼν ὑπέμεινας MR IV, 38
aliud θεοτ. in Rd: Καταφυγὴ καὶ δύναμις ἡμῶν, θεοτόκε HR, 243
heirm. δ' EE 78, n. 110, Germani aliam oden δ' invenies in Pv:
<εἱρμὸς> Τὴν ἀκοήν σου, κύριε,
εἰσακήκοα <καὶ ἐφοβήθην> EE 79, n. 111, Germani
Τὸ τῆς σεπτῆς προθέσεως
περιδέραιον, μάρτυς, σφαιρώσας
τῷ δράκοντι ἐξελθόντι σοι κατὰ στόμα
ἐπακοντίσας, ἐνέκρωσας τοῦτον
καὶ ὡς ἄψυχος στήλη
εὐθὺς ἀπελιθοῦτο.
Σὲ μυστικὸν διάκονον
καὶ σοφὸν παραστάτην τραπέζης,
Τιμόθεε, ἡ Χριστοῦ τιμᾷ ἐκκλησία·
τὰς μυστικὰς γὰρ αὐτῷ ἀναφέρεις
ἀνενδότως λατρείας
πρεσβεύων σωθῆναι ἡμᾶς.
Τοῖς ἱεροῖς ἀγῶσί σου,
ὦ Τιμόθεε, κατεκοσμήθης,
πλεξάμενος τῇ ἀθλήσει στέφανον νίκης·
διὸ ἀγάλλῃ σὺν ταῖς οὐρανίαις
τῶν ἀγγέλων χορείαις,
πρεσβεύων σωθῆναι ἡμᾶς.
θεοτ. Ὡς λιμένα εὔδιον
καὶ ἐλπίδα ἡμῶν σὲ ὑμνοῦμεν,
πανάχραντε θεοτόκε, μήτηρ ἁγία
τοῦ κατὰ σάρκα ἐκ σοῦ γεννηθέντος
βασιλέως τῆς δόξης
Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.
69-72 Px Rb Rd Vx om. trop., quod his versibus suppletur:
Ἀξιέπαινον
χάριν ὁ μάρτυς εὗρεν ὁδεύων,
τῷ τῶν ἄρτων (= ἀρετῶν Px Rd) συγκαλύμματι
συμποδήσας τὸν ὄφιν.

στέφος ἄνωθεν τῆς χάριτος
ἐκ Θεοῦ ἐκομίσω.

Ὡς διέσωσας
τὴν βασιλίδα, μάρτυς κυρίου,
ἐπιγνώσει τῇ τῆς πίστεως
καὶ ἡμᾶς ταῖς εὐχαῖς σου.

Μεμαστίγωται
ὁ δολιόφρων ὄφις τῷ λόγῳ
τῶν χειλέων σου, Τιμόθεε,
καὶ πεσὼν ἐνεκρώθη.

Σαῖς δεήσεσιν,
οὐρανομύστα μάρτυς κυρίου,
χάριν αἴτησαι καὶ ἔλεος
καὶ εἰρήνην τῷ κόσμῳ.

θεοτ. * Μήτηρ ἄχραντε,
εὐλογημένη ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης ἀνάγκης.

ᾠδὴ ε'. *Τὴν σὴν εἰρήνην δὸς ἡμῖν,*

Τὸν ἱερὸν Τιμόθεον,
μάρτυς Τιμόθεε,
παραζηλῶν, φερωνύμως ἀνεμάξω αὐτοῦ
τοὺς τρόπους καὶ τὴν πίστιν
καὶ συνέδραμον τῇ πράξει τὰ ὀνόματα.

73-76 trop. om. Px Rb Rd Rx 75 τῇ om. Vb 81-84 trop. om. Px Rb Rd Vx, qui hoc aliud substituunt:
Ὡς ἐπέστρεψας
τὴν βασιλίδα, Χριστοῦ λευΐτα,
πρὸς ἐπίγνωσιν τῆς πίστεως
καὶ ἡμᾶς ταῖς εὐχαῖς σου. (-- cfr. vv. 37-38)
85-88 θεοτ. MR III, 87 88 ἀνάγκης] περιστάσεως MR
heirm. ε' EE 78, n. 110, Germani 89-98 trop. om. Rb 90 Τιμόθεον Px 91 ζηλοτυπῶν Px Vx ζηλοτυπῶν φερωνύμων Rb 93 πράξει] πίστει Px Rd Vx

---

89-93 I Cor. 4,17; II Cor. 1,19; Filip. 1,1; 2,19-20

Ἱερουργὲ τῆς χάριτος,
μάρτυς Τιμόθεε,
τὰ μυστικὰ τῆς λατρείας φέρων σύμβολα,
τὸν δράκοντα τὸν μέγαν
τῷ καλύμματι τῶν ἄρτων ἀπενέκρωσας.

« Ὁ κατοικῶν », ὑπέψαλλες,
« ἐν τῷ ὑψίστῳ Θεός,
καταφυγή μου γενοῦ καὶ ἐπιβήσομαι
καὶ καταπατήσω
τὴν τοῦ δράκοντος ἰσχύν », πάτερ Τιμόθεε.

‖ Τὰς καθ' ἡμῶν τοῦ δράκοντος
f. 114 ἐπαναστάσεις, σωτήρ,
ἀποπτερώσας καὶ νῦν καταπολέμησον
εὐχαῖς τοῦ ἱεράρχου,
εἰρηνεύων τὴν ζωὴν τῶν πιστευόντων εἰς σέ.

θεοτ. Τὴν βασιλίδα πόλιν σου
ἀεὶ περίσωζε,
θεοκυῆτορ ἁγνή, ταῖς σαῖς δεήσεσιν
κινδύνων λυτρουμένη
καὶ βαρβάρων καὶ φθορᾶς καὶ περιστάσεων.

99-103 trop. om. Rd 100 τοῖς ὑψίστοις Rd Θεῷ Vx 101 ἐπιβήσομαι om. Rb 103 πάτερ] μάρτυς Pv Px Vx ut tertium trop. odes ε' invenies in Rb:

Νυκτομαχοῦσαν, ἅγιε,
τὴν βασιλίδα ποτέ,
ὡς ἐν ἡμέρᾳ φωτὸς αὐτῇ κατέλαμψας
καὶ τῆς ἀσεβείας
ἀπεδίωξας ἀχλὺν τῶν νοητῶν ὀφθαλμῶν.

104-108 trop. om. Pv Px Vx 104 τὰς] τοὺς Vb 106 ἀπονεκρώσας καὶ νῦν ἀντιπολέμησον Rb Rd 109-113 aliud θεοτ. in Rb: Τὴν ἐκ Δαυΐδ βλαστήσασαν MR V, 11 110 περισώζεσθαι Rd 112 λυτρωθῆναι Pv Rd Vx 113 περιστάσεως Px Rd Vx

---

99-103 cfr. Ps. 17,3-4

ᾠδὴ ς'. *Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων*

Κατακλυσμὸν πολυθεΐας
ἡ ἐν σοὶ πίστις εἰργάσατο·
τοὺς καταρράκτας γὰρ αὐτῆς
ἡ σοφία σου ἀνοίξασα,
κατέκλυσε τὴν πλάνην
καὶ τὴν Χριστοῦ
διέσωσεν εὐσεβῆ ἐκκλησίαν.

Τὴν πανσεβάσμιόν σου κάραν,
ἣν Χριστὸς κατεστεφάνωσεν
ὡς ζωηφόρον θησαυρὸν
σὺν τῇ λάρνακι, Τιμόθεε,
τιμῶμεν καταχρέως·
βρύει καὶ γὰρ
ὡς μύρα πνευματικὰ τὰς ἰάσεις.

Τῇ μυροθήκῃ τῶν λειψάνων σου
οἱ προσψαύοντες, Τιμόθεε,
ὡς ἀρωμάτων τὴν ὀσμὴν
τῶν θαυμάτων προσλαμβάνονται·
ἀλλ', ὦ μύστα καὶ μάρτυς,
μύρα ἡμῖν
τὰς σὰς χαρίζου εὐχὰς ἀνενδότως.

θεοτ. Τῇ θεομήτορι τὸ « χαῖρε »
τοῦ ἀγγέλου προσφθεγξώμεθα·
αὕτη γὰρ μόνη τὴν χαρὰν
τοῦ παντὸς ἐκυοφόρησεν·
αὐτῆς ταῖς ἱκεσίαις

---

heirm. ς' EE 78, n. 110, Germani 117 σου ἀνοίξασα] προανοίξασα Pv Px Rb Rd Vx 119 καὶ τὴν τοῦ Χριστοῦ Vb καὶ ὡς σεπτὴν Pv Rb καὶ ὡς σεμνὴν Rd 119-120 καὶ ὡς σεμνὴν / διέσωσε κιβωτὸν τὴν ψυχήν σου Px Vx 120 διέσωσας κιβωτὸν τὴν ψυχήν σου Pv Rd ἐκκλησίαν] ἀλωβήτως Rb 121 σου om. Pv 126 καὶ γὰρ] γὰρ τοῖς πιστοῖς Px Rd Vx γὰρ ἡμῖν Pv γὰρ σοῦ Rb 127 πνευματικὰς ἰάσεις Vb 131 προσλαμβάνομεν Pv Px Rd Vx 134 ἀνενδότως] ἀενάως Rb 135-141 aliud θεοτ. invenies in Rb: Χαῖρε, πύλη ἀδιόδευτε MR VI, 116

σῶζε, Χριστέ,
τοὺς προσκυνοῦντας αὐτὴν ὀρθοδόξως.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου καταμαθὼν*

Τιμοθέου τοὺς τρόπους παραζηλῶν
καὶ τοῦ Παύλου τοὺς λόγους ἀποτελῶν,
νομίμως ἐνήθλησας
καὶ Θεὸν ὡμολόγησας,
τὸν ἐπὶ Ποντίου Πιλάτου ὡς ἄνθρωπον
δι' ἡμᾶς κριθέντα
καὶ θάνατον λύσαντα·
ὅθεν καὶ πρὸς πίστιν
βασιλίδα ζωγρήσας,
Χριστῷ προσενήνοχας πανυπέρτατον κάρπωμα,
ἱεράρχα Τιμόθεε·
πρέσβευε αὐτῷ ἐκτενῶς
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

f. 114v ‖ ᾠδὴ ζ'. *Τρεῖς παῖδες ἐν καμίνῳ*

Ἡ χάρις τῶν θαυμάτων
πρὸ τῶν ἄθλων τῷ μάρτυρι
δι' εὐσέβειαν ψυχῆς καὶ πρακτικὴν ἀρετὴν
οὐρανόθεν ἐδόθη·
ἔνθα γὰρ βίος καθαρός,
ἐκεῖ Θεὸς κατοικεῖ.

140 σώζει Χριστὸς Pv Px Rd Vx   141 αὐτὴν] αὐτῷ Px Rd Vx ὀρθοδοξίας Rd
κάθ. om. Pv Px Rd Vx; ipsum post oden γ' praebet Vb
heirm. καθ. MR III, 572
heirm. καθ. in Vb: Τὴν σοφίαν καὶ Λόγον ἐν τῇ γαστρὶ   MR I, 68
heirm. ζ' EE 79, n. 111, Germani   144 ἀρετῶν Rd
147 κατοικεῖν Vx

Ἀκούσατε τὸ θαῦμα
καὶ θαυμάσατε, ἄνθρωποι·
πῶς ὁ ὄφις ἐπελθὼν τῷ χριστομάρτυρί ποτε
τῇ τοῦ Χριστοῦ ἐπικλήσει
ἀπελιθώθη μὴ προβὰς
ἐπὶ τὰ ἔμπροσθεν;

Βασίλισσα μὲν νότου
τὴν σοφίαν ἐθαύμασεν
Σολομῶντος, ὥς φησι τὸ θεῖον λόγιον,
τὴν δὲ σήν, χριστομάρτυς,
ἡ πλανωμένη βασιλὶς
πίστιν ἐζήλωσεν.

« Οὐ κάμψω μου τὸ γόνυ
τοῖς γλυπτοῖς », μάρτυς, ἔλεγες,
« οὐ κλινῶ μου τὸν αὐχένα τῇ εἰκόνι τῇ χρυσῇ,
οὐ τοῖς εἰδώλοις λατρεύω·
Θεῷ γὰρ ζῶντι προσκυνῶ
καὶ πολιτεύομαι ».

Τὸ πήλινόν σου σκεῦος
τῆς σαρκὸς ἐκδυσάμενος,
ἀθλοφόρε, μυστικῶς παρρησιάζῃ πρὸς Θεόν·
ὃν ἱκετεύων μὴ παύσῃ
τοῦ δωρηθῆναι ἱλασμὸν
τοῖς ἀνυμνοῦσί σε.

θεοτ. Ἡ πόλις σου βοᾷ σοι,
θεομῆτορ, ἐπάκουσον,
ἣν ἐπύργωσεν υἱὸς καὶ ὑπερύψωσεν ὁ σός,

148-149 Ἠκούσατε τὸ θαύμασαται ἄνθρωποι Vx   ἠκούσατε Pv Rd   150 ἀπελθὼν Vx   διελθὼν Px   θεομάρτυρι Pv Px Rd Vx   θείῳ μαρτυρι Rb   ποτε om. Rb   152 ἀπενεκρώθη Rb   156 τὰ θεῖα λόγια Px Rb Rd Vx   157 σὴν] σὺ Vx   θεοφόρε Rb   158 βασιλεῖς Vx   159 ἐζήλωσεν] ἐθρήσκευσεν Pv Px Rb Rd Vx   160-171 trop. om. Pv Px Rb Rd Vx   172-177 aliud θεοτ. in Pv Rb: Ἐτέχθης ἐκ παρθένου MR V, 12   173 ὑπάκουσον Vx   174 υἱὸς] Χριστὸς Px Rd Vx   ὁ σὸς om. Px Rd Vx

154-159 III Regn. 10,1-9

ἱεραρχίᾳ τιμήσας
καὶ βασιλείᾳ τῇ αὐτοῦ,
ταύτην περίσωζε.

ᾠδὴ η'. *Τὸν ἐν φλογὶ*

Τὸν ἱερὸν
τοῦ Χριστοῦ στρατιώτην
ἀνευφημῶμεν,
τὸν τῆς θείας τραπέζης
λειτουργὸν καὶ μάρτυρα,
τὸν στερρὸν Τιμόθεον,
ὃν ἡ θεία χάρις
ἐστεφάνωσεν ἄθλοις.

Τοὺς ἱεροὺς
Τιμοθέου, τοῦ Παύλῳ

176 καὶ τῇ βασιλείᾳ αὐτοῦ Vb τῇ αὐτοῦ] δι' αὐτοῦ Px Vx τῇ] δὲ Rd heirm. η' EE 78, n. 110, Germani ut primum trop. odes η' Pv praebet:
Τὸν ἐν φαιδρᾷ
καρτερίας λαμπάδι
τὸν ἀθλοφόρον αὐτοῦ
εἰς τὸν ἄνω νυμφῶνα
μυστικῶς δεξάμενον
ἱερεῖς εὐλογεῖτε
. . . .
. . . .

178-185 hoc secundum in Pv 180 ἀνευφημήσωμεν Pv Px Rb Rd Vx 182 ἐκλεκτὸν διάκονον Pv Px Rb Rd Vx 183 Τιμόθεε Vb 184 χάρις om. Vb 186-193 trop. om. Pv Rb, pro hoc aliud praebet Pv:
Ὑπεριδὼν
δόξης τῆς ἐπικήρου
ὁ θεῖος μάρτυς
ἀνεδείχθη νομίμως
τῶν ἀγγέλων σύσκηνος,
τῶν μαρτύρων σύνοικος
καὶ τὴν ἄνω πόλιν
κεκτημένος πατρίδα.

187 τοῦ] τῷ Px Vx

186-193 Act. 16,1-5

μαθητευθέντος
μιμησάμενος τρόπους,
ἱερὲ Τιμόθεε,
φερωνύμως ἅπασαν
σὺν τῇ ἐπικλήσει
καὶ τὴν χάριν ἐδέξω.

Τοὺς ἱεροὺς
διελθόντες λειμῶνας
τοῦ ἱεράθλου,
τὰ τῆς χάριτος ἄνθη
f. 115 ‖ νοητῶς δρεψώμεθα
καὶ τοῖς ἄθλοις πλέξωμεν
τοὺς ἱερονίκους
τῷ ἁγίῳ στεφάνους.

Ἡ ζωηρὰ
λάρναξ τῆς κορυφῆς σου
εὐωδιάζει
τὴν μυρίπνοον χάριν,

193 ἐδέξω] ἐκτήσω Px Rd Vx post v. 193 in Rb Rd invenies trop.:
Τὸν μιμητὴν
καὶ συμπράκτορα Παύλου,
μάρτυς Τιμόθεε, (= om. Rd)
φερωνύμως ζηλώσας
τοῖς πόνοις τῆς πίστεως
ἁμιλλώμενος Παύλῳ,
ἐτύθης, κυρίῳ
εἰς ὀσμὴν εὐωδίας.

194-201 trop. om. Pv Rd 195 συνελθόντας Vx διελθόντας Px 199 πλέξωμεν] στέψωμεν Rb Vx 201 τῷ ἁγίῳ] τῶν ἀγώνων Rb 202-209 trop. om. Px Rb Rd Vx pro hoc θεοτ. aliud praebet Pv:
Χαῖρε σεμνή,
δυσανάβατον ὕψος
τοῖς τῶν βροτῶν
ὀφθαλμοῖς· χαῖρε, ὄμμασι
νόων βάθος δυσθεώρητον,
χαῖρε, μήτηρ παρθένε
καὶ θεοκυῆτορ,
εὐλογημένη Μαρία.

μάρτυς, τῶν θαυμάτων σου,
μυστικῶς εὐφραίνουσα
τοὺς ἐπιτελοῦντας
τὴν ἁγίαν σου μνήμην.

θεοτ. Πῶς ἐκ μαζῶν
γάλα βρύεις, παρθένε,
πῶς ἡ θεόπαις
παρθενεύεις τεκοῦσα
ὡς αὐτὸς εὐδόκησεν,
ὁ μητέρα ἄνανδρον
τὸ μὴ σπαρὲν βρέφος
τὴν γεννήσασαν δείξας;

ᾠδὴ θ'. *Σὲ τὴν ἀκατάφλεκτον βάτον*

Μάρτυς ἱεράρχα καὶ μύστα
τῆς ἀΰλου τραπέζης,
τῇ τριάδι καὶ Θεῷ
ἀεὶ λατρεύων,
ἱκετεύων μὴ παύσῃ καὶ νῦν τοῦ σωθῆναι ἡμᾶς.

Στέφανος μὲν πλήρης σοφίας
ἐκηρύττετο πάλαι,
σὺ δὲ πλήρης ἀρετῶν
καὶ χαρισμάτων
τῶν τοῦ πνεύματος γέγονας, μάρτυς Τιμόθεε.

---

210 μαζῶν σου Vx 211 βρύεις γάλα Rb 212 πῶς] τῶν Rd 213 εὐδόκησεν] ἠθέλησε Rb ηὐδόκησε Rd 215 ὁ] ὡς Rb Rd Vx ὃς Px μητέρα με Rb 216 τὸ μὴ σπαρὲν] μὴ σπαρέντα Px Rb Rd Vx

heirm. θ' EE 79, n. 111, Germani 218-227 trop. om. Rb 218 ἱεράρχα] καὶ λευΐτα Pv Px Rd Vx 220 Θεῷ] θεοτόκῳ Vx 222 τοῦ om. Vb 226 μεθ' οὗ καὶ μάρτυς Pv Px Rd Vx 227 καὶ διάκονος γέγονας μύστα Τιμόθεε Pv Px Rd Vx

---

223-227 Act. 6,8-10

Δεῦτε φιλομάρτυρες πίστει
τὴν τοῦ μάρτυρος μνήμην
ἑορτάσωμεν φαιδρῶς·
καλεῖ γὰρ πάντας
εἰς κοινὴν ἑορτὴν τῆς αὐτοῦ τελειώσεως.

Κράνος καὶ ἀσπίδα καὶ δόρυ
τὴν Χριστοῦ πανοπλίαν
ἀνθωπλίσω, ἀθλητά,
κατὰ τῆς πλάνης
καὶ σφενδόνῃ τριπλόκῳ αὐτὴν καταναλώσας.

Ἅγιε, ὁ δοὺς τοῖς ἁγίοις
ἁγιώνυμον χάριν
ἁγιάζειν τοῦ πιστῶς
αὐτοὺς καλοῦντας,
ταῖς πρεσβείαις αὐτῶν ὡς Θεὸς σῶσον πάντας ἡμᾶς.

θεοτ. Ἄσπορε, ἀπότιστε χώρα,
ἡ ἀνθήσασα ῥάβδος
ἐκ τῆς ῥίζης Ἰεσσαὶ
Χριστὸν τὸ ἄνθος,
χαῖρε μόνη τοῦ γένους ἡμῶν ἡ βασίλισσα.

228-232 hoc ut primum trop. in Rb 228 πίστει] δεῦτε Pv Rb Vx πάντες Px 230 φαιδρῶς] καλῶς Px 232 εἰς] πρὸς Pv Px 233-242 trop. om. Pv Px Rb Rd Vx; in Rb invenies:

Στέφανον ἐκ λίθων τιμίων
τῶν ἐνθέων σου ἄθλων
ἐκομίσω, ἀθλητά,
καὶ βασιλεύεις
ἐν Χριστῷ τῷ Θεῷ εἰς αἰῶνας ἀγαλλόμενος.
Ὥσπερ κιβωτὸς ἀρωμάτων
ἡ ἁγία σου θήκη
τῷ τῆς πίστεως φωτὶ
κεχρυσωμένη,
βλύζει, μάρτυς, θαυμάτων πηγὰς τοῖς προστρέχουσιν.

hoc ultimum trop. ut secundum odes θ invenies in Rd 243-247 θεοτ. om. Px Rb Rd Vx; pro hoc aliud praebent:

Χαῖρε τῶν εἰς σὲ προστρεχόντων
τὸ ἀπόρθητον τεῖχος Pent[II], λζ'

244 ἡ ἀνθήσασα] ἐξ ἧς ἤνθησε Pv 246 Χριστὸς Pv

IN S. JOANNEM PSYCHAITAM
(IN SS. MELETIUM STRATELATEM ET SOCIOS)

Synaxarium, 706-708 (*): Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Ἰωάννου τοῦ Ψυχαΐτου. Οὗτος ὁ μακάριος Ἰωάννου καὶ Ἠλιοὺ ἐκ νηπίου τοὺς τρόπους μιμούμενος, ἄκρᾳ σκληραγωγίᾳ τὸν βίον ἑαυτοῦ ῥυθμίσας, τοὺς πολέμους τῶν δαιμόνων ἐνίκησεν ἀνδρικώτατα ταῖς τῶν δακρύων πηγαῖς τὴν ψυχὴν προκαθαρθεὶς καὶ παννύχοις στάσεσι τὸν Θεὸν ἱλασκόμενος καὶ ἰκμάδας προχέων δακρύων, ποταμοὺς ἐξήρανε τῶν αἱρέσεων· τοῦ Χριστοῦ τὸ ὁμοίωμα προσκυνῶν ὡς σεβάσμιον καὶ τῶν ἀσεβῶν τὰ βουλεύματα καταστρεψάμενος ἠρίστευσεν, ἐξορίας πικρὰς καὶ φυλακὰς καρτερῶς ὑπομείνας καὶ νόμων προϊστάμενος καὶ πατρικῶν παραδόσεων, νόμων βασιλικῶν κατέπτυσεν· ὅθεν καὶ ἀθλήσας καρτερῶς καὶ αὐτὸς τὸν ἶσον τοῖς ἁγίοις ἀγῶνα, ὁμοίως καὶ τὸν στέφανον ἤρατο, νοσούντων σώματα καὶ ψυχὰς θεραπεύων, ὡς τῶν θαυμάτων τὴν χάριν ἐκ Θεοῦ δεξάμενος.

Meteor. gr. 150 = Φ, ff. 55-57
(Mess. gr. 121 = Mh, ff. 202v-204v)

(Cfr. canonem XXVIII a Messanense cd. desumptum et cum ipso in nonnullis strophis collatum)

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἰωάννην τὸν θεῖον ὑμνῶ προφρόνως. ⟨Θεοφάνους⟩.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*

Ἴθυνάς σου τὸν βίον
πάτερ Ἰωάννη, δι' ἀσκήσεως
πρὸς τὴν ἄνω πορείαν,
καὶ τῶν θείων βραβείων ἠξίωσαι.

(*) In die 24 maii
tit. Μηνὶ τῷ αὐτῷ ⟨μαΐῳ⟩ λ' τοῦ ἁγίου Ἰωάννου τοῦ Ψυχαΐτου
nomen Θεοφάνους ex cd. Laurae Δ. 19 cepimus (cfr. commentarium)
heirm. α' EE 224, n. 321, Joannis

Ὥριμος ὥσπερ στάχυς
τῇ ἐπουρανίῳ, πάτερ, ἅλωνι
προσηνέχθης ἀξίως,
ἀρετῶν ταῖς ἰδέαις κοσμούμενος.

Ἄμωμον ἱερεῖον
νῦν καὶ ὁλοκαύτωμα πανίερον
τὴν ἱεράν σου, πάτερ,
πολιτείαν Χριστῷ προσενήνοχας.

τριαδ. Ἄναρχον τὸν πατέρα
καὶ υἱὸν καὶ πνεῦμα τὸ πανάγιον
ἀνυμνῶ καὶ δοξάζω,
ἐν τριάδι μονάδα θεότητος.

θεοτ. Βότρυν σε ζωηφόρον
τὸν τῆς παγκοσμίου ἀποστάζοντα
γλυκασμὸν σωτηρίας,
ἡ παρθένος, Χριστέ, ἀπεκύησεν.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Νενίκηκας
τῶν λεόντων τὸ θράσος,
ἀθετησάντων Χριστοῦ
τὸν σεπτὸν χαρακτῆρα,
θεόφρον ἀξιοθαύμαστε.

Νενίκηται
προσβαλὼν σοι τὸ στῖφος
αἱρετιζόντων, σοφέ,
διπλοΐδα καθάπερ
αἰσχύνην περιβαλλόμενοι.

f. 55v ‖ Ἠρίστευσας
ἐξορίαις ποικίλαις

heirm. β' EE 226, n. 324, Germani

καὶ φυλακαῖς καρτερῶς
ὑπομείνας, τρισμάκαρ,
τῷ φίλτρῳ Χριστοῦ θαλλόμενος.

τριαδ. Δοξάσωμεν
σὺν υἱῷ τὸν πατέρα
καὶ τὸ πανάγιον
καὶ ὁμοούσιον πνεῦμα,
τριάδα τὴν ἀδιαίρετον.

θεοτ. Ἀσύλητε
θησαυρέ, τῶν ἐκ πόθου
ἀνευφημούντων σε,
σῶζε τὴν ποίμνην σου ταύτην
ἐκ πάσης, θεογεννῆτορ, ὀργῆς.

ᾠδὴ γ΄. *Σὺ εἶ τὸ στερέωμα*

Νόμων προϊστάμενος
καὶ παραδόσεων, ἔνδοξε,
τῶν πατρικῶν,
νόμων παρανόμων
βασιλέων ἠλόγησας.

Τόνοις τῆς ἀσκήσεως
ἐγγυμνασάμενος πρότερον
ἀθλητικοῖς,
ὕστερον στεφάνοις
ὡραιώθης, πανόλβιε.

Ὅλην τὴν περίγειον
καταλιπὼν ζωήν, ὅσιε,
πρὸς τὴν ζωὴν
ὄντως τὴν ἀγήρω
εὐκλεῶς μεταβέβηκας.

heirm. γ΄ EE 224, n. 321, Joannis 49 νόμον Mh 50 ἠλόγης Mh
51 τόνοις pro πόνοις acrostichidis causa habeas

56-59 Ps. 131,4

θεοτ. Ζῶσαν δυναστείαν με
ἡ ἀληθῶς θει⟨---⟩, πάναγνε,
τὴν τοῦ πατρὸς
ἐν σαρκὶ τεκοῦσα
ἐνυπόστατον δύναμιν.

Κάθισμα.

Ἦχος πλ. δ΄. *Τὴν σοφίαν τοῦ Λόγου*

Ἰωάννου τοὺς τρόπους τοῦ βαπτιστοῦ,
Ἠλιοὺ τοῦ θεοζήλου τὰς ἀρετὰς
ἀσκήσει μιμούμενος,
ἀσωμάτως ἐβίωσας,
σὺν ἀγγέλοις δοξάζων
τριάδα τὴν ἔνθεον
καὶ τῶν δαιμόνων πολέμους
νικῶν ἀνδρειότητι·
ὅθεν καὶ ἀθλήσει
καρτερῶς ἠγωνίσω,
Χριστοῦ τὸ ἐκτύπωμα
προσκυνεῖν ὡς σεβάσμιον,
Ἰωάννη μακάριε·
διὸ καὶ μετὰ τέλους
ὡς ζῶν τὰς ἰάσεις
παρέχεις ἐν χάριτι
τοῖς προσιοῦσι τῷ θείῳ λειψάνῳ σου.

ᾠδὴ δ΄. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

f. 56 || Νυσταγμὸν τοῖς σοῖς οὐκ ἔδωκας βλεφάροις
ἕως καὶ ψυχῆς καὶ σώματος κηλῖδας
τῆς ἁμαρτίας ἀπέπλυνας, θεοφόρε,
διὰ δακρύων καθαιρώμενος.

καθ. deest in Mh
heirm. καθ. MR I,68
heirm. δ΄ EE 224, n. 321, Joannis 67 ἕως καὶ ψυχὴν καὶ σῶμα καὶ κηλίδων Mh

Θεῖος γεγονώς, παμμάκαρ, τὴν εἰκόνα
ἔσεβες Χριστοῦ τὸν θεῖον χαρακτῆρα
καὶ τὰς ἁγίας εἰκόνας τὰς τῶν ἁγίων,
ὧν καὶ τὸν βίον ἐμιμήσω, σοφέ.

Εὗρες ἀμοιβὰς τῶν θείων σου ἀγώνων,
ἀντὶ τῶν φθαρτῶν στεφάνους ἀφθαρσίας,
ἀντὶ δὲ λύπης προσκαίρου καὶ ἀθυμίας
τὴν εὐφροσύνην τὴν αἰώνιον.

τριαδ. Ἄναρχε τριάς, ἀμέριστε οὐσία,
σύνθρονε μονάς, ἀχώριστε τῇ δόξῃ,
ὑπεράρχιος φύσις καὶ βασιλεία,
σῶζε τοὺς πίστει προσκυνοῦντάς σε.

θεοτ. Σὲ τὴν τοῦ φωτὸς μητέρα καὶ παρθένον
ᾄσμασι πιστοὶ δοξάζομεν ἀπαύστως·
διὰ γὰρ σοῦ ἐξανέτειλε τοῖς ἐν σκότει
καθεζομένοις φῶς ἀπρόσιτον.

ᾠδὴ ε΄. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Ἰκμάδα σὺ προχέων, πανάριστε,
τῶν δακρύων,
ποταμὸν ἐξήρανας
τὸν τῆς αἱρέσεως, ἔνδοξε.

Ὀρθρίζων διετέλεις τῷ πνεύματι,
θεοφόρε,
φωτισμὸν δεχόμενος
καὶ δρόσον θείας ἐλλάμψεως.

---

70 Θείων   τὴν] κατ'
heirm. ε΄ EE 226, n. 324, Germani   86 Ἐκ καδῶν τῶν δακρύων πανάριστε Mh   87 σοῦ προχέων Mh

---

90-93 Is. 26,9

Νεκρώσας τὰς ὁρμὰς τὰς τοῦ σώματος
ἀσκητικῶς,
τὴν ψυχὴν ἐζώωσας
ὁμολογίας λαμπρότητι.

τριαδ. Τριάδα ἐν μονάδι δοξάζομεν,
ὀρθοδόξως
σὺν ἀγγέλοις κράζοντες,
ἅγιος, ἅγιος, ἅγιος.

θεοτ. Μὴ παύσῃ δυσωποῦσα ὃν ἔτεκες,
θεοτόκε,
σῶσαι τὰς ψυχὰς ἡμῶν
τῶν ὀρθοδόξως ὑμνούντων σε.

ᾠδὴ ϛ΄. *Χιτῶνά μοι παράσχου φωτεινόν*

f. 56v ‖ Ὑμνῳδίας παννύχους ἐκτελῶν
καρτερῶς ὡς ἄσαρκος,
ἰσάγγελος γέγονας
προαιρέσει τοὺς ἀγγέλους ἐκμιμούμενος.

Μαρτύρων σὺ τοὺς τρόπους πρακτικῶς
ζηλώσας, θεόσοφε,
μάρτυς ἀήττητος
συνειδήσει ἀληθείας ἐχρημάτισας.

Νοσοῦντα καὶ τὸ σῶμα καὶ ψυχὴν
ἀφῇ ἐθεράπευσας,
τὴν χάριν δεξάμενος
παρὰ Θεοῦ, θεοφόρε, τῶν ἰάσεων.

τριαδ. Δοξάσωμεν πατέρα καὶ υἱὸν
καὶ πνεῦμα τὸ ἅγιον,
τριάδα ἀμέριστον,
ἐν μονάδι προσκυνοῦντες οὐσιότητος.

---

heirm. ϛ΄ EE 224, n. 321, Joannis

θεοτ. Τὸν Λόγον συλλαβοῦσα τοῦ πατρὸς
ἀνάνδρως, πανάχραντε,
ἀτρέπτως ἐκύησας
σεσαρκωμένον ἐπὶ γῆς Θεὸν καὶ ἄνθρωπον.

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ
τὴν γῆν θεμελιώσας*

Ὡς φαεινὸς
ὁ βίος σου, τρισμάκαρ,
καὶ θαυμαστὸν τὸ τέλος τῆς ζωῆς σου,
« εὐλογητὸς εἶ », βοῶν ἀπαύστως,
« κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Πᾶσαν ἐν γῇ
κατέλιπες φροντίδα
καὶ οὐρανὸν τὸν νοῦν σου ἀπειργάσω,
βοῶν ἀπαύστως· « εὐλογητὸς εἶ,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

Ῥήσεις σοφῶν
ἑπόμενος, τρισμάκαρ,
ἤθη ψυχῆς ἐκόσμησας πρεπόντως,
βοῶν ἀπαύστως· « εὐλογητὸς εἶ,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

τριαδ. Ἅγιος εἶ
πατὴρ ὁ παντοκράτωρ,
ἅγιος εἶ υἱὸς ὁ σώσας κόσμον,
ἅγιος εἶ τὸ θεῖον πνεῦμα,
ὁ ἐπὶ πάντων Θεός, τριὰς ἁγία, μονάς.

θεοτ. Ὁ σαρκωθεὶς
ἐκ κόρης ἀπειράνδρου
δίχα φθορᾶς καὶ ῥεύσεως βροτείας,
εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας,
κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

---

heirm. ζ' ΕΕ 226, n. 323, Germani 129 βοῶν ἀπαύστως.... om. Mh
131 Πάσας Mh 132 φροντίδας Mh

ᾠδὴ η'. *Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα*

⟨Ὁλοτρόπως σαυτὸν καθιέρωσας
τῷ δεσπότῃ·
ἐβίωσας ἀμέμπτως
καὶ πρὸς αὐτὸν γηθόμενος ἐχώρησας,
κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας⟩.

Φιλοσόφως τὸν βίον διανύσας
πρὸς τὴν θείαν
ζωὴν μετέστης, πάτερ,
καὶ ἀκηράτου ζωῆς ἐμφορούμενος,
κύριον δοξάζεις,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ῥωμαλέῳ φρονήματι ἀντέστης
τοῖς τυράννοις,
f. 57 ‖ τῶν θείων διδαγμάτων
καὶ πατρικῶν δογμάτων προϊστάμενος,
πάτερ Ἰωάννη,
κράζων· « εὐλογεῖτε
Χριστὸν εἰς τοὺς αἰῶνας ».

Ὁμογνώμων, ὁμόζηλος, ὁμόφρων
τοῖς ἁγίοις
γενόμενος τρισμάκαρ,
δόξης τῆς τούτων γέγονας συμμέτοχος,
κράζων· « εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

heirm. η' ΕΕ 226, n. 323, Germani 151-157 trop. cum in Φ desit a cd. Mh, acrostichide iubente, mutuati sumus 161 ζωῆς] δόξης Mh 162 δοξάζεις] ὑμνεῖτε Mh 163 καὶ ὑπερυψοῦτε Mh 164 εἰς πάντας] βοᾶς εἰς Mh 170 εὐλογεῖτε] ὑμνεῖτε Mh 171 Χριστὸν] αὐτὸν Mh Χριστὸς Φ

τριαδ. Προσκυνῶ σε τὸν ἄναρχον πατέρα
καὶ δοξάζω
τὸν ἄχρονον υἱόν σου
καὶ ἀνυμνῶ τὸ πνεῦμά σου τὸ ἅγιον,
ἄκτιστον οὐσίαν
ἐν τρισὶ προσώποις
ἀεὶ γνωριζομένην.

θεοτ. Τὴν παρθένον καὶ ἄχραντον μητέρα,
τὴν τεκοῦσαν
τοῦ κόσμου τὸν σωτῆρα,
ὃν κατιδεῖν οὐκ ἔφερον ἀσώματοι,
οὐρανῶν δυνάμεις,
πάντες ὁμοφρόνως
ὑμνοῦμεν εἰς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Νέκρωσιν παθῶν πρὸ θανάτου δι' ἐγκρατείας
ἐνδυσάμενος, ὅσιε,
ζωῆς ἀτελευτήτου
καὶ ἀφθάρτου τρυφῆς ἠξιώθης,
νῦν σὺν ἀσωμάτοις αὐλιζόμενος.

Ὡς ὡραῖος φοῖνιξ ἀνθήσας ἐν ἐκκλησίᾳ,
γλυκασμὸν ἡμῖν προχέεις
τῆς σῆς ὁμολογίας
καὶ ὡς κέδρος, παμμάκαρ, ἐδείχθης,
μύρον εὐωδίας ἀναβρύουσα.

Στέφανον ἐδέξω, θεόφρον, παρὰ κυρίου
καὶ διάδημα εὐπρεπὲς
τῆς ἄνω βασιλείας,

heirm. θ' EE 226, n. 324, Germani 201 ὡς] ὡσεὶ Mh

κοινωνὸς γεγονὼς τῶν ἁγίων,
ὧνπερ καὶ τὸν ζῆλον ἐπιδέδειξαι.

θεοτ. Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος,
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων·
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

IN S. JOANNEM PSYCHAITAM
IN SS. MELETIUM STRATELATEM ET SOCIOS

Mess. gr. 121 = Mh, ff. 202ᵛ-204ᵛ

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*

* Ἰθυνάς σου τὸν βίον,
. . . .

* Ὥριμος ὥσπερ στάχυς
. . . .

Νόμοις ἐμμελετήσας
τοῦ Χριστοῦ, Μελέτιε μακάριε,
καρποφόρον ὡς δένδρον
f. 203 ταῖς ἀρδείαις ἐ||δείχθης τοῦ πνεύματος.

Μέγιστος στρατηλάτης
τοῦ παμβασιλέως ὤφθης, φάλαγγας
δυσμενῶν διακόπτων
τῇ διστόμῳ ῥομφαίᾳ τῶν ἄθλων σου.

tit. Μηνὶ τῷ αὐτῷ ⟨μαΐῳ⟩ κε' τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου ὁμολογητοῦ τοῦ Ψυχαΐτου καὶ τοῦ ἁγίου μάρτυρος Μελετίου τοῦ στρατηλάτου καὶ τῶν σὺν αὐτῷ μυρίων χιλίων διακοσίων N   acr. om.   Strophas asterisco signatas invenies in canone XXVII.

heirm. α' EE 224, n. 321, Joannis   15 δυσμενῶν διό σε ἔστωτον cd.: . . . διακόπτων scripsi sensu inductu

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

* Νόμων προϊστάμενος
. . . .

* Πόνοις τῆς ἀσκήσεως
. . . .

* Ὅλην τὴν περίγειον
. . . .

Στίγμασι καὶ μώλωψιν
ὡραϊζόμενος, ἔνδοξε,
μαρτυρικοῖς,
θρόνῳ τοῦ δεσπότου
εὐπρεπῶς νῦν παρέστηκας.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης*

* Νυσταγμὸν τοῖς σοῖς οὐκ ἔδωκας βλεφάροις,
. . . .

* Θεῖος γεγονώς, παμμάκαρ, τὴν εἰκόνα
. . . .

Ἐπ' ὄρους ἀρετῶν ἐπήρθης τετραρίθμου,
ἀνδρείᾳ καὶ φρονήσει σὺν δικαιοσύνῃ
καὶ σωφροσύνῃ κοσμούμενος καὶ τοῖς ἄθλοις
τῆς καρτερίας στεφανούμενος.

Διέκοψας ἐχθρῶν τὰς κάρας ἐν ἐκστάσει
f. 203ᵛ τῇ || καρτερικῇ μεθέξει νῦν μαχαίρᾳ
καὶ τὰ ἀλλόφυλα στίφη τῶν μιαιφόνων
σὺν τοῖς συνάθλοις ἐτροπώσω, σοφέ.

heirm. γ' EE 224, n. 321, Joannis   22 Πόνοις] Τόνοις Φ secundum acrostichidis legem   post oden γ' καθ. praebet Φ

heirm. δ' EE 224, n. 321, Joannis   45 τετράριθμον   50 μεθεξινην μαχαίρᾳ

37-40 Ps. 131,4

ᾠδὴ ε′. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Ἐκ κάδων τῶν δακρύων, πανάριστε,
σοῦ προχέων,
ποταμὸν ἐξήρανας
τὸν τῆς αἱρέσεως, ἔνδοξε.

* Ὀρθρίζων διετέλεις τῷ πνεύματι,
. . . .

Μελέτην τοῦ θανάτου τιθέμενος
σοῦ τὸν βίον,
εὐθαρσῶς, Μελέτιε,
πρὸς τὰς βασάνους ἐχώρησας.

Οὓς ἔσχες ὁμοψύχους, Μελέτιε,
ἐν πολέμοις,
ἐν ἄθλοις ἀπέδειξας
καρτερικῶς συναθλοῦντάς σοι.

ᾠδὴ ϛ′. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

* Ὑμνῳδίας παννύχους ἐκτελῶν
. . . .

* Μαρτύρων σὺ τοὺς τρόπους πρακτικῶς
. . . .

Χιτῶνα εὐφροσύνης σε Χριστὸς
εὐπρεπῶς ἐνέδυσεν
— ´ — — — ´ — —
ἀκηράτῳ δι' αὐτὸν ἀριστεύσαντα.

heirm. ε′ EE 226, n. 324, Germani 53 Ἰκμάδα σὺ προχέων, πανάριστε Φ 54 τῶν δακρύων Φ
heirm. ϛ′ EE 224, n. 321, Joannis 73 σὺ] σου 79 v. scriba praetermisit

57 Is. 26,9

Πληθὺν τὴν πολυάριθμον ἐχθροῦ
στρατὸς μυριόλεκτος
στερρῶς ἐτροπώσατο
καὶ μυριάσιν ἀθλητῶν συνευφραίνεται.

ᾠδὴ ζ′. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

* Ὡς φαεινὸς
. . . .

* Πάσας ἐν γῇ
. . . .

f. 204 ‖ Τὰς δυσμενῶν
ἀρχὰς καὶ ἐξουσίας
καταβαλών, γενναῖε στρατηλάτα,
συναγελάζῃ χοροῖς ἀγγέλων
καὶ δήμοις, ταξιάρχα, ⟨ὑπὲρ ἡ⟩μῶν δυσωπῶν.

Τὸν ἀρχηγὸν
τῶν κακῶν ἐν ἀνδρείᾳ
τῆς σαρκὸς καθελὼν στρατηγίας
σὺν ὑπηκόῳ στρατῷ παρέστης,
Μελέτιε, τῇ πηγῇ τῶν ἀγαθῶν γεγηθώς.

ᾠδὴ η′. *Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα*

Ὁλοτρόπως σαυτὸν καθιέρωσας
τῷ δεσπότῃ·
ἐβίωσας ἀμέμπτως
καὶ πρὸς αὐτὸν γηθόμενος ἐχώρησας,
κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

83 στερρὸς
heirm. ζ′ EE 226, n. 323, Germani 90 πᾶσαν Φ 99 ὑπὲρ ἡ . . ipse scripsi, deest in ed. 107 σαρκὴς
heirm. η′ EE 226, n. 323, Germani

* Φιλοσόφως τὸν βίον διανύσας,
πρὸς τὴν θείαν
ζωὴν μετέστης, πάτερ,
καὶ ἀκηράτου δόξης ἐμφορούμενος,
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε »,
βοᾷς, « εἰς τοὺς αἰῶνας ».

119-125 * Ῥωμαλέῳ φρονήματι ἀντέστης
. . . .

Τὸν ἐν μάχαις πρὶν εὐδοκιμηκότα
στρατηλάτην
κατ' ἐχθρῶν καὶ βαρβάρων
καὶ νῦν κατὰ τυράννων ἀριστεύσαντα,
μετὰ τῶν συνάθλων
πάντες καταχρέως
Μελέτιον τιμῶμεν.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

133-137 * Νέκρωσιν παθῶν πρὸ θανάτου δι' ἐγκρατείας
. . . .

* Ὡς ὡραῖος φοῖνιξ ἀνθήσας ἐν ἐκκλησίᾳ,
γλυκασμὸν ἡμῖν προχέεις
τῆς σῆς ὁμολογίας
καὶ ὡσεὶ κέδρος, παμμάκαρ, ἐδείχθης,
μύρον εὐωδίας ἀναβρύουσα.

Τὸν ἀνδραγαθίαις πολέμων ποτὲ φανέντα
f. 204v ‖ καὶ ἐν ἄθλοις — ⏑́ — —
— ⏑́ — — — ⏑́ —
περιφανέστατον πα — ⏑́ —
⏑́ — νον Μελέτιον τιμήσωμεν.

112-118 trop. et in Φ relata hic repetuntur causa variarum lectionum 115 δόξης] ζωῆς Φ 116 ὑμνεῖτε] δοξάζεις Φ 117 ὃν ὑπερυψοῦμεν Φ 118 βοᾷς εἰς] εἰς πάντας Φ

heirm. θ' EE 226, n. 324, Germani 141 ὡσεὶ] ὡς Φ 143-147 trop. mutilum tradit Mb

IN SANCTUM HELLADIUM

Synaxarium, 711: Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἑλλαδίου. Οὗτος ὁ ἅγιος ἐκκαθάρας ἑαυτὸν ἀπὸ πάσης κηλῖδος καὶ δοχεῖον ἑαυτὸν ἀπεργασάμενος τοῦ ἁγίου Πνεύματος, χρίεται ψήφῳ Θεοῦ ἀρχιερεὺς καὶ τοὺς οἴακας πιστευθεὶς τῆς τοῦ Θεοῦ ἐκκλησίας, ὡς ποιμὴν τῆς ἑαυτοῦ ποίμνης τοὺς λυκώδεις τῶν ἀνθρώπων ἀπείργων, ὡς δὲ κυβερνήτης ἐπιστήμων ταύτην κυβερνήσας. Διὰ τοῦτο οὖν δέσμιον οἱ τύραννοι παρεστήσαντο· αὐτὸς δὲ τομῶς χωρήσας πρὸς τὰ σκάμματα καὶ παρρησιασάμενος τὴν εὐσέβειαν, πλείσταις βασάνοις καθυποβάλλεται καὶ τὸ σῶμα σφοδρῶς καταξανθεὶς θείας χάριτος ἠξιώθη. Ὁ γὰρ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐποφθεὶς αὐτῷ τὴν ἐκ τῶν μωλώπων ἅπασαν κάκωσιν ἐξιάσατο καὶ προθυμότερον ἴσχυσεν· μετὰ ταῦτα ὀργῆς πλησθέντες οἱ τύραννοι τῷ πυρὶ τὸν ἅγιον ἀπορρίπτουσιν. Ὁ δὲ ἄφλεκτος διαμείνας πολλοὺς ἐπεσπάσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν· ἔπειτα σφοδρότατα αἰκισθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

Crypt. Δ.α. IX	= Cl,	ff. 124-126
Laur. Γ. 19	= Am,	ff. 140v-145
Paris. gr. 1574	= Pu,	ff. 212-213v
Vallic. gr. E 55	= Ec,	ff. 119v, 112-112v
Jerosol. Sab. gr. 241	= Sk,	ff. 191-193

Ὁ κανών· Ἁγιοπολίτου.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραώ*

* Ἄνθεσι ψαλμικοῖς
καταστέψωμεν, πιστοί,
τὸν θεῖον Ἑλλάδιον

tit. Μηνὶ τῷ αὐτῷ <μαΐῳ> κη' Am Pu Μηνὶ μαΐῳ ις' τοῦ ἁγίου μάρτυρος Ἑλλαδίου Sk nomen auctoris om. Am Ec Sk Ec, fractis vel lapsis foliis, mutilum ostendit canonem

heirm. α' EE 104, n. 147, Andreae Pu ut primum trop. ostendit Δεῦτε φιλευσεβῶς MR V, 176 et versus 1-6 MR V, 176, ut secundum 1 ψαλμικοῖς] χαρμονικῶς MR

ὡς νικητὴν ἀσεβείας,
μάρτυρα λαμπρὸν τῆς τριφαοῦς
ὁμοουσίου θεότητος.

* Ἥλιος διαυγὴς
ἐξ ἀδύτων ἀρετῶν
τῷ κόσμῳ ἀνέτειλας,
ἀπομειώσας τὴν πλάνην
ἐν ἀθλητικαῖς μαρμαρυγαῖς,
ἱερομύστα Ἑλλάδιε.

Ἔγνωσται θαυμαστὸς
ἐν τοῖς ἄθλοις σου Θεός·
δεσμὰ γὰρ διέρρηξας,
ἔσβεσας φλόγα καμίνου,
πᾶσι φοβερὸς ὤφθης ἀθλῶν,
κλέος μαρτύρων Ἑλλάδιε.

θεοτ. * Ἄσπορον τοκετὸν
μόνη φέρεις γυναικῶν
καὶ μήτηρ ὑπάρχουσα
καὶ παρθενεύουσα κόρη,
ἄκουσμα φρικτὸν ὤφθης, ἁγνή,
ὅτι Θεὸν ἡμῖν τέτοκας.

---

4 εὐσεβείας Ec 5 καὶ μάρτυρα Pu λαμπρὸν] στερρὸν MR τριφαοῦς] τρισσοφαοῦς Ec Sk τριφεγγοῦς Pu 7-12 trop. MR V, 176 tertium in Pu 8 ἀρετῶν] ἱερῶν MR 12 ἱερομύστα] ἱερομάρτυς Am Pu MR 13-18 trop. om. Am Pu suam vicem in Am hoc aliud explet:

Σὺ πολλοῖς ῥαβδισμοῖς
ὡς ἐλαία τοῦ Χριστοῦ
τιναγμοὺς ὑπέμεινας
τῷ φερωνύμῳ σου τρόπῳ,
ἔλαιον ἡμῖν πεπηγακὼς
θαυματουργίας, Ἑλλάδιε.

13 ἔγνωσε θαυμαστῶς Ec 14 σου Θεὸς] ἱερὲ Ec ἱερεῦ Sk 17 ὀφθεὶς Ec 18 μαρτύρων κόσμος Ἑλλάδιε Ec Sk ante θεοτ. hoc τριαδ. praebet Sk:

Ἄτμητος ἡ τριὰς
καὶ προσώποις μεριστή,
εἷς θεός, εἷς κύριος,
πατήρ, υἱὸς καὶ τὸ πνεῦμα,
ἄναρχος ἀρχή, μία μορφή,
ἡ τῶν ἁπάντων δεσπόζουσα.

19-24 θεοτ. MR V, 176 23 ὀφθεῖσα Ec 24 ἡμῖν τέτοκας] ἀπεκύησας Pu MR

ᾠδὴ β'. *Ἴδετε, ἴδετε,*
ὅτι ἐγώ εἰμι Θεός

f. 124v ‖ Ἴδετε, ἴδετε,
ὅτι ἐγώ εἰμι Θεός,
ὁ ἐποφθεὶς ἐπὶ τῆς εἱρκτῆς
τῷ θαυμαστῷ Ἑλλαδίῳ
καὶ τοῦτον ἐκ βασάνων
ποικιλοτρόπων ἐξάρας καὶ δείξας,
ὅτι πέλω ἐν αὐτῷ σημειουργῶν.

Ἄφλεκτος ἔμεινας
ὑποβληθεὶς ἐν τῷ πυρί,
ὅτι ἐν σοὶ πῦρ θεαρχικὸν
τοὺς δυσμενεῖς ἀναλίσκον
καὶ σὲ διαφυλάττον
ὥσπερ χρυσοῦν διαυγοῦντα, τρισμάκαρ,
τῇ τῆς πίστεώς σου θείᾳ δοκιμῇ.

Πόθῳ θελγόμενος
τῆς τοῦ κυρίου σου στοργῆς,
ὡς ἐπ' αὐτὴν ἦλθες τὴν τομήν,
στολὴν λαμπρὰν ἐνεδύσω,
Ἑλλάδιε τρισμάκαρ,
δεικνὺς τὸ σχῆμα χαρᾶς σοι μεγάλης
καὶ νυμφεύσεως ἡμέραν τὸ παθεῖν.

θεοτ. Ἄσπορον σύλληψιν
καὶ τοκετὸν παρθενικὸν
ὁρῶν ἐν σοί, ἄχραντε ἁγνή,
οὐχ ἑρμηνεύω τὸν τρόπον,
οὐ φέρω ἐκλαλῆσαι,
τὸ δὲ μυστήριον πίστει δοξάζων,
θεοτόκον προσκυνῶ σε ἀληθῆ.

---

oden β' om. Pu Sk MR
heirm. β' EE 105, n. 148, Andreae 29 τούτων Cl 41 ἑαυτὴν Am 49 οὐκ Am Ec 52 ἀληθεῖ Cl

---

25-31 cfr. Deut. 32,39 32-33 cfr. Dan. 3,47-50

ᾠδὴ γ'. *Ὁ στερρῶν βροντὴν καὶ κτίζων πνεῦμα*

* Ὡς θαυμαστὸν λαοῖς τὸν μάρτυρά σου
ἀνέδειξας, σωτὴρ ἡμῶν,
ὑπενεγκεῖν πᾶσαν προσβολὴν
διὰ σὲ πικρῶν βασάνων,
τῷ πόθῳ γλυκαινόμενον
τῆς σῆς ἀγαπήσεως.

* Ἐν τοῖς ὠσὶ τὸ πῦρ ὑποίσας, μάρτυς,
τὴν ὄψιν ἀπολέλοιπας
καὶ κατιδὼν δόξαν οὐρανῶν,
τῷ Θεῷ ἀνθωμολόγεις,
ὅτι τῷ πάθει φάος σοι
λαμπρὸν ἐξανέτειλεν.

Ἀειφανὴς λαμπτὴρ τῆς ἐκκλησίας
ὡς μάρτυς Χριστοῦ γέγονας,
ταῖς τῶν σεπτῶν ἄθλων σου αὐγαῖς
φρυκτωρῶν τὴν οἰκουμένην·
διὸ καὶ τοὺς ὑμνοῦντάς σε
εὐχαῖς σου καταφαίδρυνον.

θεοτ. * Τὸ θαυμαστὸν ἀεὶ ἐν σοὶ θρυλεῖται
τεράστιον, πανάχραντε,
ὅτι παρθένος παιδοτοκεῖς
καὶ γνησία μήτηρ πέλεις
τοῦ ποιητοῦ τῆς κτίσεως,
ἀμφοῖν ἀληθεύουσα.

---

heirm. γ' 104, n. 147, Andreae 53-58 trop. MR V, 176 53 τὸν μάρτυρά σου] τὸ ὄνομά σου Pu 55 ὑπενεγκεῖν ὁ μάρτυς πᾶσαν προσβολὴν Pu ὑπενεγκόντα MR 56 σὲ] δὲ MR 57 γλυκαινόμενος Ec Sk 59-64 trop. MR V, 176 59 τοῖς ὠσὶ] ὀφθαλμοῖς Pu MR τοῖς ποσὶ Sk μάρτυς] μάκαρ Am Pu MR 60 ἀπολέλειπες Cl 61 καθιδὼν Ec τὴν δόξαν τῶν οὐρανῶν Am 62 καθωμολόγεις Pu MR 63 τὸ edd. 66 ὡς] ὁ Am σὺ Ec ὢ Pu Sk 67 σεπτῶν σου ἄθλων αὐγαῖς Am 69 διὸ] ἀλλὰ Am Pu 70 σου om. Am Pu ante θεοτ. Sk τριαδ. praebet:

Τριαδικὴ μονὰς δοξολογείσθω,
θεότης ἡ πανάγαθος,
πατήρ, υἱὸς καὶ πνεῦμα, εἷς ὁ Θεός,
κἂν τρισὶ τοῖς χαρακτῆρσιν
ἰσοκλεῶς λατρεύεται
μιᾷ οὐσιότητι.

71-76 θεοτ. MR V, 176 71 ἐν σοὶ ἀεὶ Am Sk 73 οὖσα παιδοτοκεῖς Am Pu Sk MR 74 καὶ Θεοῦ μήτηρ ὤφθης Sk 76 ἀληθέστατα Am

f. 125 ‖ ᾠδὴ δ'. *Εἰσακήκοα ὁ Θεός*

* Ἐν αὐχήμασι ποικιλθεὶς
δικαιοσύνης, ἐν κορυφῇ σου
ἀνατέθηκας διάδημα
λιθοχρυσοκόλλητον
τοῦ μαρτυρίου, μάκαρ Ἑλλάδιε.

* Ἡδομένης σου τῆς ψυχῆς,
ἐν ταῖς βασάνοις τὸ πρόσωπόν σου
ὡσεὶ ῥόδον τεθεώρητο,
ὡραϊζομένου σου
ἐν τοῖς Χριστοῦ παθήμασιν, μάρτυς σοφέ.

Κατὰ κάρας σὺ κρεμασθεὶς
πορείαν στέλλει οὐρανοδρόμον,
μετὰ Παύλου στεφανούμενος,
ἱερὲ Ἑλλάδιε,
ὡς τὸν καλὸν ἀγῶνά σου τετελεκώς.

θεοτ. * Ἡ παρθένος πῶς γαλουχεῖς,
πῶς τοῖς μητρῴοις τοκεύσεις νόμοις;
« ὅτι ὅνπερ ἀπεκύησα
σαρκωθεὶς Θεός ἐστιν,
καινοτομῶν τὴν φύσιν ὡς οἶδεν αὐτός ».

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

* Ἐξέλαμψας ὡς ἥλιος,
οἰκῶν τὸ δεσμωτήριον,
ὅτι ἐκεῖ τὸ φῶς τὸ ἄδυτον

---

heirm. δ' EE 107, n. 150, Andreae 77-81 trop. MR V, 177 77 καυχήμασι Pu 78 ἐν] τῇ Am MR 80 ὥσπερ χρυσοκόλλητον Sk 81 ἱερομάρτυς ἔνδοξε κλέος πιστῶν MR τοῦ μαρτυρίου σου Pu 82-86 trop. MR V, 177 84 τεθεώρηται Am Sk 85 ὡραϊζομένῳ σοι Pu 87 κάραν Pu 91 καλὸν om. Pu σου om. Ec Pu ante θεοτ. Sk praebet τριαδ.:

Ἐν μιᾷ οὐσίᾳ ὑμνῶ
τρεῖς ὑποστάσεις τῆς θεαρχίας MR V, 177

92-96 θεοτ. MR V, 177 93 τοκεύσεις] λοχεύσεις MR 94 ἀπεκύησας Ec Sk MR
heirm. ε' EE 106, n. 149, Andreae 97-103 trop. MR V, 177

87-91 II Tim. 4,6-8 97-101 Act. 16,25-26

Χριστός σοι ἐπεφάνη,
λόγους παρακλήσεως
ὡς τῷ Παύλῳ λέγων σοι,
καρτερόφρον ἀθλητά.

* Δεσμά σοι διερράγησαν,
ὥσπερ ἱστὸς ἀράχνιος,
ὅτι ἐν σοὶ ἰσχύς τις ἄμαχος,
συντρίβουσα δαιμόνων
ἅπασαν ἐπίνοιαν
καὶ σὲ θαυμαστεύουσα,
στρατιῶτα τοῦ Χριστοῦ.

Τὸ αἷμά σου χεόμενον
ὡς ὕδωρ ἐπὶ ἔδαφος,
βασιλικὴν στολὴν κατέβαψεν
Χριστοῦ τῇ ἐκκλησίᾳ,
ἥνπερ ἀμπεχόμενοι,
ὡραιοποιούμεθα
ἀνυμνοῦντες τὸν Χριστόν.

θεοτ. * Καὶ ἄρρητον λεγόμενον
καὶ ἄγνωστον νοούμενον
τὸ ἐπὶ σοὶ ὀφθὲν μυστήριον,
ὅτι σπορὰν οὐκ ἔγνως
καὶ υἱὸν ἀπέτεκες·
οὗτός ἐστιν, πάναγνε,
βασιλεὺς τῆς εἰρήνης.

---

101 λόγοις Ec 102 λέγων σοι] φωνῶν σοι Am Pu Sk MR ὡς τὸν Παῦλον φωνῶν σε Ec 104-110 trop. MR V, 177 104 σοι] σου Pu 106 τις] ἡ Pu MR 109 καὶ θαυμαστεύουσα ὄντως Ec καὶ δεικνύουσα ὄντως Sk μεγαλύνουσα Pu MR 110 στρατιώτην Sk 113 βασιλικήν σοι στολὴν Pu 115 ἀμπεχόμενοι] καὶ κατέχοντες Pu ἀπεχόμενοι Ec 116 ὡραιοπονούμεθα Pu 117 τὸν Χριστὸν] σε μάρτυς Am Ec Sk σὲ σοφὲ Pu ante θεοτ. Sk hoc praebet τριαδ.:

Καὶ τρία σέβω πρόσωπα
καὶ μίαν τὴν θεότητα MR V, 177

118-124 θεοτ. MR V, 177 124 τῆς εἰρήνης βασιλεὺς Pu MR

f. 125v ‖ ᾠδὴ ς'. *Τῶν πταισμάτων τῇ ζάλῃ*

* Τῶν ᾀσμάτων τῇ λύρᾳ
πάντες ᾄσωμεν,
ἀγαλλομένῃ καρδίᾳ ἑορτάζοντες,
ὅτι Χριστὸς ἀνέδειξεν Ἑλλάδιον
τὸν κλεινὸν ἀθλοφόρον
νικητὴν τοῦ ἀντικειμένου.

* Τετραδέσμοις ἀνάγκαις
διελκόμενος,
ὡς ἐν ἀδύτοις ὑπῆρχες εὐφραινόμενος·
ἑώρας γὰρ τὴν μέλλουσαν ἀνάπαυσιν,
ὑπὲρ ἧς, ἀθλοφόρε,
ἔπασχες τὸν Χριστὸν δοξάζων.

* Τοῖς εἰδώλοις τοῦ θύειν
ἀπαρνούμενος,
θυσία ζῶσα, τρισμάκαρ, Θεῷ γέγονας,
εὐωδιάζων ἅπασι τὰ ἄχραντα
μύρα τῶν παθημάτων
τοῦ Χριστοῦ ἐν τῷ σώματί σου.

---

heirm. ς' EE 110, n. 153, Theodori Studitae 125-130 trop. MR V, 177 125 τὴν λύραν MR 127 ἑορτάσωμεν Ec Sk ἑορτάζοντες om. MR 130 κήρυκα τῆς αὐτοῦ ἀληθείας Ec Sk 131-136 trop. MR V, 178 131 τετραδέσμοις] ταῖς ποικίλαις Sk 132 διερχόμενος Pu MR 134 εὐωδιάζων ἅπασι τὰ ἄχραντα Pu 135 πρὸ προσώπου σου μάκαρ Am μύρα τῶν παθημάτων Pu πρὸ προσώπου σου μάρτυς MR ἀθλοφόρε] ἠγωνίσω Sk 136 ὑπὲρ ἧς εἵλω πάντα πάσχειν Am τοῦ Χριστοῦ ἐν τῷ σώματί σου Pu καὶ ἐν Χριστῷ πάντα εἵλου παθεῖν Sk ὑπὲρ ἧς εἵλου πάντα παθεῖν MR ἔπασχες] ἐπέσχες Ec 137-142 trop. MR V, 177 137 τοῦ] τὸ MR 139-142 τὸ πανάγιον, τρισμάκαρ, Χριστοῦ ὄνομα / μέσον πολλῶν ἐκήρυττες καὶ ἔδειξας / πᾶσι τὰ μεγαλεῖα / αὐτοῦ, Ἑλλάδιε μάρτυς Pu 140 ἅπασαν Am 142 σου om. Ec ante θεοτ. hoc τριαδ. praebet Sk:

Ὁμοβασίλειε, σύμμορφε,
τριὰς ἄναρχε,
ἰσοκλεής, τρισυπόστατε, μονὰς ἄτμητε,
θεότης ὑπερούσιε, πάτερ, υἱὲ
καὶ τὸ ἅγιον πνεῦμα,
σὲ ὑμνεῖ ἅπασα κτίσις.

θεοτ. * Ὑπερφυής σου ὁ τόκος,
ὅτι ἄσπορος,
μητροπρεπῶς πάλιν τίκτεις νόμῳ φύσεως,
παναληθῆ ἀμφότερα· φιμούσθωσαν
αἱ λυσσώδεις αἱρέσεις
ἐπὶ σοί, ἁγνὴ θεοτόκε.

Κάθισμα.

Ἦχος α'. *Τόν τάφον σου, σωτήρ,*

Καθάρας σεαυτὸν
ἀπὸ ῥύπου κακίας
....

ᾠδὴ ζ'. *Πῦρ φλέγον ἐν καμίνῳ*

* Οὐρανός σε ἠδέσθη
πρὸς γῆν συρόμενον,
θέατρον, μακάριε,
ἐν τῷ κόσμῳ γέγονας,
ὑπὲρ Χριστοῦ ἐναθλήσας
καὶ τοῦτον ὑμνῶν ὡς τῶν πατέρων Θεόν.

* Ἐν πτέρναις σου ὑποίσας
πικρὰν διάτρισιν,
ἔτρωσας τὸν δόλιον
καὶ πτερνίσας ἔρριψας
ὑπὸ τοὺς πόδας σου, μάκαρ,
δοξάζων Χριστὸν τῶν πατέρων ἡμῶν.

143-148 θεοτ. MR V, 178 143 ὁ τόκος σου Sk 144 ἀσπόρως Am MR 147 λυσσώδεις] γλωσσώδεις Pu MR 148 θεοκυῆτορ Am θεομῆτορ Pu MR θεοτόκε ἁγνὴ Sk κάθ. MR V, 176-177 hoc κάθ. post oden γ' praebet Pu om. Sk post κάθ. in Pu sequitur θεοτ.:
Ἄχραντε θεοτόκε,
ἡ ἐν οὐρανοῖς εὐλογημένη HR, 241,
et σταυροθεοτ.: Οἱ τὴν σὴν προστασίαν
κεκτημένοι, ἄχραντε HR, 239

heirm. ζ' EE 105, n. 147, Andreae 149-154 trop. MR V, 178 154 ὡς om. Am Sk ὡς] τὸν MR Θεὸν om. Ec 155-160 trop. MR V, 178 158 ἔρρηξας Am Ec ἔρριξας Ru 160 τῶν] τὸν τῶν MR Χριστὸν] Θεὸν Sk ἡμῶν] Θεὸν Am Pu MR hic fine Ec

f. 126 ‖ Ἐλαία κατάκαρπος
φανεὶς τῇ χάριτι,
καθὼς ὁ ἀπόστολος
ἐρραβδίσθης, ὅσιε,
ἐν δισχιλίαις δὲ ῥάβδοις
ὡς ἀμφικαλλὴς στεφανίτης Χριστοῦ.

θεοτ. * Ὢ φρικτοῦ μυστηρίου·
ὢ ξένου θαύματος·
πῶς καὶ μήτηρ πέφηνας
καὶ παρθένος ἔμεινας,
εὐλογημένη, ἡ μόνη
τεκοῦσα Θεὸν τὸν τῶν πατέρων ἡμῶν;

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

* Γῆ τὸ αἷμά σου μυρωδεῖ,
ἄνωθεν ὑμνεῖ σε οὐρανός,
λογογραφοῦμεν δὲ ἡμεῖς
τὰ ὡραῖά σου ἆθλα, μάκαρ,
καὶ λαμπρῶς ἐκβοῶμεν·
« ἱερεῖς εὐλογεῖτε τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

* Πῦρ καὶ ξίφος μὴ πτοηθείς,
γέγονας ὁπλίτης τοῦ Χριστοῦ,
ἐν παντευχίᾳ μυστικῇ
τὸν Βελίαρ σκυλεύσας, μάκαρ,

162 τῆς χάριτος Am Pu 164 ἐβαδίσθης Pu 165-166 ἔλαιον ὥσπερ τὸ αἷμα / τῇ γῇ ἀποστάζων, Ἑλλάδιε Sk ante θεοτ. hoc τριαδ. praebet Sk:
Τρισήλιε θεότης,
ὁμοβασίλειε, MR V, 178
167-172 θεοτ. MR V, 178 171 ἡ] σὺ MR om. Sk 172 Θεὸν τεκοῦσα Sk Θεὸν] ἡμῖν MR ἡμῶν] Θεὸν MR

heirm. η' EE 107, n. 150, Andreae 173-180 trop. MR V, 178 173 Γῆ τὰ αἵματά σου κροτεῖ Sk 176 σου ἆθλα] ἆθλα σου Pu Sk MR 177 καὶ om. Am ἐκβοῶντες Am 180 εἰς πάντας] αὐτὸν εἰς MR 181-188 trop. MR V, 178-179

161-166 Act. 16,22

καὶ πιστῶς ἀνακράζων·
« ἱερεῖς εὐλογεῖτε τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Τρὶς τὸν τράχηλόν σου κρουσθείς,
τρίπλοκον ἐδέξω ἐκ Θεοῦ
βραβεῖον νίκης, ἀθλητά,
μαρτυρήσας ὑπὲρ τριάδος
καὶ πιστῶς ἀνακράζων·
« ἱερεῖς εὐλογεῖτε τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Νοῦς τὸ θαῦμά σου οὐ χωρεῖ,
γλῶσσα δὲ εἰπεῖν ἐξατονεῖ,
ὅτι κυεῖς ἄνευ σπορᾶς
ἡ παρθένος καὶ μετὰ τὸν τόκον
ἀληθῶς, θεομῆτορ,
ἣν αἰνοῦντες, ὑμνοῦμεν τὸν κύριον
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἄσπορον τόκον σου*

* Ἡμέραν ἀθλήσεως
λαμπρῶς ἑορτάσωμεν
τοῦ θείου Ἑλλαδίου,
ἐν ὕμνοις τὸν σωτῆρα μεγαλύνοντες.

185 καὶ om. Am 188 εἰς πάντας] αὐτὸν εἰς MR 193 καὶ om. Am ante θεοτ. hoc τριαδ. praebet Sk:
Θεὸν δοξάζω ἐπὶ πατρός,
σύμφωνα αἰνῶ ἐπὶ υἱοῦ MR V, 179
197-204 θεοτ. MR V, 179 197 σου om. Am MR οὐ χωρεῖ] οὐκ ἐγχωρεῖ Am Pu MR 198 ἐξατονεῖ] ἐξαπορεῖ Am Sk MR 199 κύεις Am Sk κύει MR 200 τὸν om. Am Pu Sk MR 201 v. om. Pu 202 ἣν Cl αἰτοῦντες Sk
heirm. θ' EE 104, n. 146, Germani 205-208 trop. MR V, 179 Pu hoc ordine versus disposuit: 209-212, 205-208 206 ἑορτάζοντες Am Pu MR ἑορτάζομεν Sk 208 μεγαλύνομεν Am Pu MR

Στῦλον καὶ ἑδραίωμα
ἀληθείας ὄντα σε
καὶ φάος τῶν ἐν σκότει,
Ἑλλάδιε τρισμάκαρ, μεγαλύνομεν.

Ἡ σεπτή σου ἄθλησις
τοῖς πιστοῖς παράκλησις
καὶ στήλη εὐσεβείας,
ἀλλὰ πρέσβευε, μάρτυς, τοῦ σωθῆναι ἡμᾶς.

θεοτ. * Μητέρα ἀνύμφευτον
καὶ παρθένον ἅπαντες,
σεμνή, ἀνυμνοῦμέν σε·
ἀσπόρως γὰρ τὸν κτίστην ἀπεκύησας.

211 καὶ φῶς τῶν ἐν τῷ σκότει Pu φάος] φέγγος Sk ante θεοτ. hoc τριαδ. praebet Sk:
Τριὰς ὁμοούσιε
καὶ μονὰς τρισήλιε,
πατήρ, υἱὲ καὶ πνεῦμα,
σὲ ἀπαύστως ἐν ὕμνοις μεγαλύνομεν.
217-220 θεοτ. TR, 413 Am Pu continent:
Χαίροις μυριόχαρε
καὶ κοσμοχαρμόσυνε MR V, 179

209-212 I Tim. 3,15

IN SANCTUM THERAPONTEM

Synaxarium, 709-710 (*): Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεράποντος. Οὗτος ὁ ἅγιος ὅθεν ὥρμητο ἢ ἐκ τίνων ἔφυ ἢ καθ' οὓς ἐγένετο χρόνους ἢ τίσι παραταξάμενος καὶ νικήσας τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο, οὐκ ἔχομεν εἰπεῖν, τῶν ὑπομνημάτων αὐτοῦ συνδιαφθαρέντων τῷ χρόνῳ. Ὅτι μὲν τὸν μονήρη βίον εἵλετο, δηλοῦσιν αἱ εἰκόνες αὐτοῦ, ἐπὶ τοιαύτης ἰδέας καὶ σχήματος αὐτὸν ἀναγράφουσαι· ὅτι δὲ ἐπίσκοπος κατὰ τὴν Κυπρίων γέγονε νῆσον καὶ ὅτι τῷ Χριστῷ προσήχθη δι' αἵματος καὶ τὸν ἀθλητικὸν ἀγῶνα διήνυσεν, ἐξ ἀρχαίας φήμης κατὰ διαδοχὴν παρειλήφαμεν καὶ ἀγράφως παρὰ τῶν προγενεστέρων διδαχθέντες πιστεύομεν. Ἀνηνέχθη δὲ τὸ τίμιον αὐτοῦ λείψανον πρὸς τὴν βασιλίδα πόλιν, τῶν Ἀγαρηνῶν ἐπιθέσθαι τῇ Κυπρίων νήσῳ καὶ ληΐσασθαι ταύτην βουλευσαμένων, αὐτοῦ τοῦ ἁγίου δι' ἐπιφανείας τῷ προσμοναρίῳ αὐτοῦ φησίν· « Τάχος ἀναστὰς λάβε μου τὸ λείψανον ⟨καὶ⟩ ἀποκόμισον εἰς Κωνσταντινούπολιν· μέλλουσι γὰρ οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ τῇ νήσῳ ταύτῃ ἐπιβῆναι καὶ τοὺς τόπους τούτους διερημῶσαι ». Καὶ τάχος τὸ προσταχθὲν ἐπλήρου· καὶ νῦν, ἔνθα ἀπόκειται, πηγὰς θαυμάτων ἀναβλύζει ἑκάστοτε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι πλησίον τῆς Ἐλαίας.

Crypt. Δ.α. IX	= Cl,	ff. 126ᵛ-128ᵛ
Mess. gr. 121	= Mh,	ff. 207-209
Paris. gr. 1566	= Pw,	ff. 84ᵛ-86ᵛ
Paris. Suppl. gr. 564	= Sd,	ff. 153ᵛ-157
Paris. Coislin gr. 309	= H,	ff. 316ᵛ-319
Paris. gr. 1574	= Pu,	ff. 209ᵛ-211ᵛ
Vallic. gr. E 55	= Ec,	ff. 102-102ᵛ

(*) In die 26 maii.

Ὁ κανών· ποίημα Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἱερωτάταις χορείαις
ἐν οὐρανοῖς
συγχορεύων πάντοτε,
τοὺς τιμῶντας ἐπὶ γῆς
τὴν ἁγίαν μνήμην σου παθῶν
καὶ κινδύνων χαλεπῶν,
Θεράπον, λύτρωσαι.

Ἐφαπλουμένη ἐν κόσμῳ
ἡ ἱερὰ
καὶ σεπτή σου ἄθλησις,
διεγείρει τοὺς πιστοὺς
ἐν αὐτῇ δοξάζειν σε λαμπρῶς,
ἀριστεύσαντα, σοφὲ
Θεράπον, χάριτι.

Θεοφεγγῆ σε ἀστέρα
ὁ νοητὸς
ἀναδείξας ἥλιος,
τῶν ἀγώνων σου φωτὶ
καὶ θαυμάτων λάμψεσι πιστοὺς
καταυγάζει ἱερῶς,
ἀνευφημοῦντάς σε.

θεοτ. * Ἱερωτάτη χορεία
τῶν προφητῶν
προεδήλου πόρρωθεν

tit. Μηνὶ τῷ αὐτῷ (μαΐῳ) κζ' Sd H Pu   nomen Ιωσηφ — in margine Pw idem om. Mh Sd H — e litteris capitalibus troparioruin odes θ' deducitur. Ec, nonnullis exscissis foliis, mutilum tradit canonem, cuius vv. 29-155   heirm. α' EE 159, n. 224, Joannis   8 ἐφαπλωμένη Cl   ὑφαπλουμένη H   ὑφαπλωμένη Sd   13 σαφῶς Pw   15-21 loco huius trop. Mh repetit vv. 8-14   16 νοητῶς Sd   22-28 θεοτ. MR V, 225

f. 127 ‖ ἐσομένην σε Θεοῦ
ἀληθῶς λοχεύτριαν, ἁγνή,
ἀνωτέρα Χερουβὶμ
καὶ πάσης κτίσεως.

ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Θεράπων γέγονας Χριστοῦ
ἀληθεύουσαν φέρων
καὶ κατάλληλον, μάρτυς,
σοῦ τὴν κλῆσιν ἀληθῶς
καὶ θεραπεύεις ψυχῶν
καὶ σωμάτων
πάντοτε νοσήματα.

Τὸ αἷμα μύρῳ συγκραθέν,
σοῦ τὴν ἱερωσύνην
λαμπροτέραν ποιεῖται,
ἱεράρχα καὶ ποιμὴν
καὶ μάρτυς καὶ ἰατρὲ
τῶν νοσούντων·
ὅθεν εὐφημοῦμέν σε.

Ἴᾶσαι πάθη χαλεπὰ
τῶν πιστῶς προσιόντων
καὶ νοσήματα παύεις
καὶ πνευμάτων πονηρῶν
καθαίρεις λώβην, Χριστοῦ
ἱεράρχα,
θείαις ἐπικλήσεσιν.

θεοτ. * Νοεῖν τοῦ τόκου σου, σεμνή,
τὸ ἀπόρρητον βάθος

---

26 ἀληθῆ Mh Pw Sd H Pu MR 27 ἀνωτέραν MR heirm. γ΄ EE 159, n. 224, Joannis 33 ψυχὰς Sd 35 πάμπολλα Pu 36 μύρον H 38 ποιεῖται] δεικνύει Pu 43 ἴασαι H 44 πιστῶν Sd 48 ἐπικλήσει Sd 49 θείᾳ παμμακάριστε Sd 50-56 θεοτ. MR V, 226 50 σεμνὴ] ἁγνὴ Pw H MR

ἀπορεῖ νοῦς ἀνθρώπων·
ὁ Θεὸς γὰρ ἑαυτὸν
κενώσας δι' οἰκτιρμοὺς
ἐν γαστρί σου,
ὅλον με ἀνέπλασεν.

---

54 οἰκτιρμῶν Pu 56 ἔσωσε τὸν ἄνθρωπον MR
post oden γ΄ Pw Sd Pu sequitur:
κάθ. ἦχος α΄ Τὸν τάφον σου, σωτήρ,
Θεράπων τοῦ Χριστοῦ
ἐναθλήσας νομίμως,
ἐδείχθης ἀληθῶς
ἱεράρχης καὶ μάρτυς·
διὸ δυσωποῦμέν σε
τῶν ψυχῶν ἡμῶν, ἅγιε,
νῦν θεράπευσον
τὰ δυσθεράπευτα πάθη,
τὸν φιλάνθρωπον
καὶ θελητὴν τοῦ ἐλέους
Χριστὸν ἱλεούμενος.
in Pw θεοτ.:
Ἄχραντε θεοτόκε,
ἡ ἐν οὐρανοῖς εὐλογημένη HR, 241
in Sd θεοτ.:
Ὁδήγησον ἡμᾶς
ἐν ὁδῷ μετανοίας MR V, 202
et σταυροθεοτ.: Ὁρῶσά σε, Χριστέ,
ἡ πανάμωμος μήτηρ MR V, 216
in Pu θεοτ.:
Ἡ μόνη κραταιὰ
καὶ θερμὴ προστασία
τοῦ γένους τῶν βροτῶν,
θεοτόκε παρθένε,
ἀπαύστως ἱκέτευε,
σὺν προφήταις καὶ μάρτυσιν,
ἱεράρχαις τε
καὶ ἀσκηταῖς καὶ ὁσίοις,
ὃν ἐκύησας ὑπερφυῶς Θεὸν Λόγον
τοῦ σῶσαι τὰ σύμπαντα.
et σταυροθεοτ.:
Ὡς εἶδεν ἐν σταυρῷ
ἡ ἀμνάς σε τὸν ἄρνα
κρεμάμενον, Χριστέ, MR IV, 274
aliud κάθ. praebet H:
ἦχος γ΄ Θείας πίστεως ὁμολογίᾳ
Θείαν ἔλλαμψιν τοῦ παρακλήτου,
Κάρπε πάνσοφε, εἰσδεδεγμένος MR V, 172 (in sanctum Carpum)

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Καθάρας πρότερον
παθῶν συγχύσεως
τὴν ψυχήν, ὑπεδέξω,
ἱερουργέ,
χρῖσμα θεῖον ἅγιον
καὶ ἐπὶ τέλει ἀθλητῶν
ἐκοσμήθης διαδήματι.

Σημείοις πάντοτε
καὶ θείοις τέρασιν
διαλάμπων ὁρᾶσαι
καὶ φρυκτωρεῖς
πᾶσαν τὴν ὑφήλιον,
χάριν θεόθεν εἰληφώς,
ἱεράρχα ἀξιάγαστε.

Ποιμάνας πρότερον
λαὸν ἐν χάριτι,
ἀναιμάκτοις θυσίαις
ὡς ἱερεὺς
ἱερῶς ἡγίασας
καὶ ὡς ἀμνὸς σφαγιασθείς,
τῷ κυρίῳ προσενήνεξαι.

θεοτ. * Ὡς πύλην φέρουσαν
πρὸς θείαν εἴσοδον,
ὡς παράδεισον ἄλλον,
ὡς νοητὸν
τόπον ἁγιάσματος,
ὡς καλλονὴν τοῦ Ἰακὼβ
τὴν παρθένον μακαρίσωμεν.

heirm. δ' EE 159, n. 224, Joannis Pu hoc ordine profert versus: 71-77, 57-63, 64-70 62 ἐπιτέλει Sd Ec 63 ἐκοσμίσθης Cl Ec ἐκομίσθης H διαδήμασι Sd 69 θεόθεν] θαυμάτων Pu εἴληφας Mh 71 ποιμένας Pu 73 ἀναιμάκτους θυσίας Mh Pw Pu 75 ἡγίασας] προσέφερες Pu 78-84 θεοτ. MR V, 227 79 εἴσοδον] ἄνοδον Mh Pu ἄνοθεν Pw 80 ἄλλον] πάλαι Mh θεῖον Sd H Pu

f. 127v ‖ ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Τῷ θείῳ φέγγει καταυγασθείς,
ὤφθης φαεινότατος ἀστήρ,
φωταγωγῶν τὴν ὑφήλιον
ταῖς θεοσημίαις
ἐν θείῳ πνεύματι,
Θεράπον ἱεράρχα,
θεομακάριστε.

Ὡς ὁλοκάρπωμα ἱερὸν
καὶ ὡς προσφορὰ προσδεκτικὴ
καὶ ἱερεῖον ὁλόκληρον
τῷ σαρκὶ παθόντι
Λόγῳ προσήνεξαι,
Θεράπον ἱεράρχα,
μάρτυς γενόμενος.

Κρατῆρα πλήσας πανευκλεῶς
τῆς ὁμολογίας ἀληθῶς
καὶ τῆς στερρᾶς σου ἀθλήσεως,
ἅπαντας φωτίζεις,
Θεράπον ὅσιε,
μεθ' ὑψηλοῦ κηρύγματος
προσκαλούμενος.

θεοτ. * Μετὰ τὴν κύησιν τὴν φρικτὴν
ἔμεινας παρθένος ὡς τὸ πρίν·
Θεὸς γὰρ ἦν τὸ τικτόμενον,
ὁ μετασκευάζων
πάντα βουλήματι,
ἀνύμφευτε Μαρία,
θεοχαρίτωτε.

heirm. ε' EE 159, n. 224, Joannis 90 θεραπεύων H 93 προσδεκτικὴ] προσδεκτὴ Mh πάτερ δεκτὴ Pw Sd H Pu Ec 97 ἱεράρχα] τοῦ κυρίου Pu 98 θεομακάριστε H 99-105 trop. om. H 102 φωτίζεις] ποτίζεις Mh Pw Sd Pu 105 προσκαλούμενον Pu 106-112 θεοτ. MR V, 227 108 ὁ τικτόμενος Pu

ᾠδὴ ϛ΄. *Τοῦ βίου τὴν θάλασσαν*

Ὁ βίος σου ἔνθεος,
ἡ ζωὴ θεοπρεπὴς
καὶ εὐκλεὴς ὁ θάνατος,
μαρτυρικαῖς ἐμπρέπων ταῖς καλλοναῖς,
θαυμάτων τε λάμψεσιν,
καταυγάζων καρδίας
τῶν ὑμνούντων σε.

Κατάκαρπον κλῆμά σε
τῆς ἀμπέλου ἀληθῶς
τῆς νοητῆς ἐπέγνωμεν
ὁμολογίας βότρυας ἀκλινοῦς
προφέρον, πηγάζοντας
καρτερίας, Θεράπον,
οἶνον ἄριστον.

Ὁ οἶκός σου δέδεικται
ἰατρεῖον ἱερόν,
ἐπικουφίζον χάριτι
παντοδαπὰς ὀδύνας τῶν ἀσθενῶν
καὶ λύον νοσήματα,
ἱεράρχα Θεράπον,
ἀξιάγαστε.

θεοτ. * Ὁ Λόγος ἐν μήτρᾳ σου
παχυνθεὶς ἄνευ σπορᾶς,
βροτὸς ὡράθη τέλειος,
καινοτομῶν τὰς φύσεις θεοπρεπῶς
ὡς μόνος ἐπίσταται,
θεοχώρητε πύλη
παναμώμητε.

heirm. ϛ΄ EE 159, n. 224, Joannis 113 ἔνθεος] ἔνδοξος Pu 114 θεοτερπὴς H 116 ἐμπρέπων ταῖς] ἐμπρέποντα H 117 τε] ταῖς Sd 119 τῶν ἀνυμνούντων σε Pw 123 ἀκλινοῦς] ἀληθοῦς Sd 124 προφέρον] θεόφρον Pw προφέρων edd. 125 Θεράπον] θεόφρον Pw Sd H 127 δέδεκται H 132 Θεράπον] θεόφρον Sd Pu 134-140 θεοτ. MR V, 227 135 ἄνευ] δίχα Pu 136 ὡράθης Cl 137 θεοπρεπῶς] ὑπερφυῶς Pu 139 θεοχαρίτωτε κόρη Mh θεοκόσμητε κόρη MR

120-126 Joh. 15,1-6

f. 128 ‖ Κάθισμα.

Ἦχος α΄. *Τὸν τάφον σου, σωτήρ,*

Τῷ θείῳ φωτισμῷ
αὐγασθεὶς τὴν ψυχήν σου,
ἀστὴρ φωταγωγῶν
τὴν ὑφήλιον ὤφθης
σημείοις, μακάριε,
οἷς ἐτέλεις ἐν πνεύματι·
μαρτυρήσας δὲ
σοῦ τοῖς κρουνοῖς τῶν αἱμάτων
πλάνης ἔσβεσας
πυράν, δροσίζων καρδίας
τῶν πίστει προσιόντων.

κάθ. om. Mh Pw Sd H Pu
heirm. καθ. PaR, 9 in Ec heirm. *Χορὸς ἀγγελικὸς* MR III, 481
9 προσιόντων σοι Ec post oden ϛ΄ in Pu:

κοντάκ. ἦχος δ΄ *Ἐπεφάνης σήμερον*
Ταῖς ἀδύτοις λάμψεσιν
τῶν ἰαμάτων
ἐκδιώκεις, πάνσοφε,
σκότος βαθύτατον παθῶν
ἐκ τῶν πιστῶς προστρεχόντων σοι,
θαυματοφόρε Θεράπον μακάριε.

οἶκος
Ὡς θεραπεύσας τὸν Θεὸν
ἐν ὅλῳ σου τῷ βίῳ
καὶ πράγματι δηλώσας τὴν κλῆσιν τὴν οἰκείαν,
ἣ οὐκ ἐμοὶ μόνον γνωστή,
πάσαις δὲ ταῖς χώραις
ὡς ἀστραπὴ παμφαής,
ἐπίβλεψον καὶ σόφισον κἀμὲ
τὰ σὰ ὑμνῆσαι τεράστια,
ὅσιε Θεράπον,
πρεσβευτὰ τῶν ἐν ἀνάγκαις,
ἀρχιερεῦ,
ὁ λάμψας ἐν τῇ Κύπρῳ,
αὐτὸς οὖν καὶ ἡμᾶς πρεσβείαις σου, πάτερ,
τοῦ κυρίου τὸν σταυρὸν ἄραντας
σκέποις·
ἔχεις γὰρ ἰσχὺν
ὡς ἄθλους μαρτύρων ἀνύσας,
θαυματοφόρε Θεράπον μακάριε.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Τῶν παθῶν τὴν τρικυμίαν κατεπράϋνας
δι' ἐγκρατείας, ὅσιε,
μαρτυρήσας δέ,
τῇ πλημμύρᾳ ἔσβεσας τῶν σῶν
αἱμάτων τῆς πλάνης τὴν πυράν,
ἱερομάρτυς τοῦ Χριστοῦ,
Θεράπον ὅσιε.

Τετελείωσαι τῷ μύρῳ τῷ τῆς χρίσεως,
ἱερομύστα ὅσιε,
καὶ τελειώσας
ἱερεῖς καὶ δῆμον καὶ λαὸν
ἐτέλεσας δρόμον τὸν καλόν,
σφαγιασθεὶς ὑπὲρ Χριστοῦ,
Θεράπον μάρτυς σοφέ.

Τῇ ῥοῇ σου τῶν αἱμάτων κατεπόντισας
τοῦ δυσμενοῦς τὰς φάλαγγας,
τῶν θαυμάτων δὲ
τῷ πυρσῷ τὸν ζόφον τῶν παθῶν
σκεδάζεις, Θεράπον, ἀληθῶς,
θαυματουργὸς ἀναδειχθεὶς
καὶ ἰατρὸς ἀσθενῶν.

θεοτ. * Ὁ καθήμενος ἐν κόλποις τοῦ γεννήτορος
ἀπεριγράπτως, ἄχραντε,
ἐν τοῖς κόλποις σου
νῦν καθέζεται περιγραπτῶς,
τὴν σὴν περικείμενος μορφὴν
διὰ τὸ σῶσαι τὸν Ἀδάμ,
νέος Ἀδὰμ γεγονώς.

heirm. ζ' EE 159, n. 224, Joannis 141 καταπράϋνας Pw 143 μαρτυρίας Cl Ec 146 ⟨ἱερο⟩υργήσας Mh 147 Θεράπον μάρτυς σοφέ Mh θεομακάριστε Pu 148 τετελείωτε Mh χρίσεως] χάριτος Pw H Pu 151 καὶ λαὸν] ὡς ποιμὴν Mh Pw Sd H Pu deest in Ec 152 δρόμον τὸν καλὸν] βίον ἱερὸν Pu 154 μάρτυς σοφὲ] ὅσιε H ἔνδοξε Pu σοφὲ] Χριστοῦ Cl Pw, deest in mutilo Ec 155-161 trop. om. H 156 hic desinit Ec 159 ἀληθὴς Pu 160 ἀνεδείχθης Pw 162-168 θεοτ. MR V, 228 165 περιγραπτὸς Cl Mh H

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Ἀναιμάκτους θυσίας
Θεῷ προσήγαγες
καὶ τυθεὶς ὡς ἀρνίον
καθαρὸν ἄμωμον,
τὰς δαιμονικὰς
τελετὰς ἐξηφάνισας,
κλέος ἀθλοφόρων,
Θεράπον ἱεράρχα.

Παραδείσου πολίτης
θεῖος γεγένησαι
καὶ ἀγγέλων ἁγίων
ὤφθης συμμέτοχος,
τῇ μαρτυρικῇ
διαλάμπων φαιδρότητι,
μάρτυς ἀθλοφόρε,
Θεράπον τοῦ σωτῆρος.

Ὑπερήφανον ὄφιν
σὺ ἐταπείνωσας
ταπεινώσει καρδίας,
ἀντιταξάμενος
τούτῳ ἀνδρικῶς
καὶ μαρτύρων ἐν αἵματι
βάψας, ἱεράρχα,
τὴν ἱερὰν στολήν σου.

128v θεοτ. * ‖ Λυτρωθέντες τῆς πρώην
ἀρᾶς τῷ τόκῳ σου,
παντευλόγητε κόρη
θεοχαρίτωτε,
τὴν τοῦ Γαβριὴλ

heirm. η' EE 159, n. 224, Joannis 179 καὶ ἁγίων ἀγγέλων Sd 181 καρτερικῇ Mh 184 σωτῆρος | κυρίου Pu 185-192 trop. om. Pw 189 τοῦτο Mh 193-200 θεοτ. – MR V, 229 – repetitur in Mh 196 θεογεννήτρια MR

σοὶ φωνὴν ἀναπέμπομεν·
χαῖρε, ἡ αἰτία
τῆς πάντων σωτηρίας.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἰδεῖν τὴν δόξαν τοῦ παντοκράτορος
ἐπιποθῶν,
τὸν ἄδικον ὑπέμεινας θάνατον
καὶ οἰκείῳ ἐπέβης ἐν αἵματι,
ἔνδοξε ἱεράρχα,
ὥσπερ ἐν ἅρματι
καὶ πρὸς οὐρανὸν ἀναδραμών,
χαίρων κατέπαυσας.

Ὡς φῶς, ὡς ὄρθρος ἡμῖν ἀνέτειλας,
φωτιστικαῖς
ἀκτῖσι καταυγάζων τὰ πέρατα,
ἱεράρχα καὶ ποιμὴν θεόπνευστε,
καὶ τὴν τῶν παθημάτων
λύων σκοτόμηναν·
ὅθεν σε τιμῶμεν εὐσεβῶς
καὶ μακαρίζομεν.

Συνὼν χορείαις, θεομακάριστε,
πατριαρχῶν,
μαρτύρων, ἀποστόλων, δικαίων τε
καὶ ὁσίων, σὺν τούτοις ἱκέτευε
λύσιν ἁμαρτημάτων
πᾶσι δωρήσασθαι
τοῖς ἐπιτελοῦσιν εὐσεβῶς
τὴν θείαν μνήμην σου.

---

198 φωνήν σοι MR   ἀναμέλπομεν H
heirm. θ' EE 159-160, n. 224, Joannis   204 ἐπιβὰς H   205 ἔνδοξε] πάνσοφε Pu   207 οὐρανοὺς Mh Pw Sd H Pu   211 ἀκτῖσι] ἀκτίζειν Mh   214 σκοτόμαιναν Pw Sd H Pu   219 δικαίων τε] ὁσίων τε Pu   220 σὺν αὐτοῖς καθικέτευε μάρτυς Χριστοῦ Pu

Ἡ σὴ τοῦ οἴκου, μάρτυς, εὐπρέπεια
μαρμαρυγαῖς
θαυμάτων καθ' ἑκάστην φωτίζουσα
τοὺς πιστῶς προσιόντας ἐν πνεύματι,
λύει παθῶν τὸν ζόφον,
παύει νοσήματα,
μάρτυς, ἱεράρχα καὶ ποιμὴν
ἀξιοθαύμαστε.

θεοτ. * Φωτὶ τῷ σῷ με, θεοχαρίτωτε,
ἐν γυναιξὶν
παρθένε, καταλάμπρυνον δέομαι
καὶ πυρὸς αἰωνίου με λύτρωσαι,
ὅπως σε μεγαλύνω,
ὅπως δοξάζω σε,
ὅπως καταχρέως ἀνυμνῶ
τὰ μεγαλεῖά σου.

225-232 trop. om. H   225 Ἡ θεία, μάρτυς, οἴκου εὐπρέπεια Pu   Ἡ σὴ τοῦ] ἡ τοῦ σοῦ Mh Sd   233-240 θεοτ. MR V, 19   237-238 vv. om. Pw

IN SANCTUM THERAPONTEM

Paris. gr. 1575 = Pv, ff. 98ᵛ-99ᵛ
Reg. gr. 62 = Lq, ff. 58ᵛ-60ᵛ
Vindob. Theol. gr. 33 = Wz, ff. 78-79
Jerosol. Sab. gr. 72 = Jb, ff. 111ᵛ-113ᵛ

Ὁ κανών· ⟨Ἰωσήφ⟩.

Ἦχος δ′.

ᾠδὴ α′. *Ὁ πατάξας Αἴγυπτον*

Θεραπεύσας, ὅσιε,
Θεὸν πολλαῖς ἀσκήσεσιν,
ἐνήθλησας νομίμως
καὶ τούτου γέγονας θεράπων·
ὃν ἐκτενῶς αἴτησαι
τὰ πάθη θεραπεῦσαι
τῶν καρδιῶν ἡμῶν.

f. 99 ‖ Ἱεράρχης ἔνθεος
καὶ ἀθλητὴς πανάριστος,
Θεράπον, ἀνεδείχθης,
πολλῶν θαυμάτων δαδουχίαις
ὡς φωταυγὴς ἥλιος
φωτίζων οἰκουμένης
πάντα τὰ πέρατα.

tit. Μηνὶ τῷ αὐτῷ (μαΐῳ) κζ′ Lq Wz Jb ... τοῦ ἁγίου ἱερομάρτυρος Θεράποντος Pv τοῦ ἁγίου ἱερομάρτυρος Ἑλλαδίου Jb nomen Ιωσηφ, om. cdd., e litteris capitalibus odes θ′ deducitur
heirm. α′ EE 106, n. 150, Andreae 4 τοῦτο Lq 14 τὰ κατορθώματα Lq πάντα τὰ πέρατα Ἑλλάδιε Jb πάντα om. Wz

Ἰατρὲ πανθαύμαστε,
θαυματουργὲ πανάριστε,
ἰάτρευσον τὰς νόσους
τῶν καρδιῶν ἡμῶν εὐχαῖς σου
τῶν εὐσεβεῖ πίστει σε
θερμῶς ἀνευφημούντων,
θεομακάριστε.

θεοτ. Κιβωτόν σε ἔμψυχον
καὶ θεοδόχον τράπεζαν,
παλάτιον κυρίου,
θρόνον καὶ πύλην, θεοτόκε,
καὶ φωταυγὲς σκήνωμα
τοῦ πάντων βασιλέως
κατονομάζομεν.

ᾠδὴ γ′. *Μὴ καυχάσθω ὁ καυχώμενος*

Τὰ λαμπρά σου προτερήματα,
τὰς ἀριστείας,
τοὺς πόνους, τοὺς μόχθους,
τὰ ἱερὰ παλαίσματα
καὶ τὰ τεράστια
ἀνυμνεῖ ὁ κόσμος, σοφέ·
⟨ὃν⟩ περίσωζε ταῖς ἱκεσίαις σου.

Εὐφημεῖ σου τὰ παλαίσματα
Κυπρίων νῆσος
καὶ ἀδιαπαύστως

15-21 trop. om. Lq Wz Jb pro hoc aliud praebent:
Μαρτυρίου αἵματι
καθαγιάσας, ἅγιε, (= Θεράπον Wz)
Χριστοῦ τὴν ἐκκλησίαν
δρόσῳ θαυμάτων παραδόξως, (= παράδοξον Wz παραδόξων Jb)
ἀσθενειῶν καύσωνα
ἐξαίρεις τῇ δυνάμει
τοῦ θείου πνεύματος.
24 παμμάκαρ παλάτιον κυρίου Lq καὶ θρόνος Jb 25 θεοτόκον Wz
heirm. γ′ EE 106, n. 149, Andreae 29-35 trop. om. Lq Wz Jb 35 ὃν scripsi metri et sensu causa

θαυμάτων τὰ παράδοξα
Κωνσταντίνου πόλις,
ἱεράρχα μάρτυς Χριστοῦ·
ἣν πρεσβείαις σου ἄτρωτον φύλαττε.

Λεγεῶνα πονηρότατον
ἀποδιώκεις
δυνάμει, παμμάκαρ,
τοῦ παναγίου πνεύματος
καὶ ὑγιῆ καθιστᾷς
ξηρανθεῖσαν χεῖρα ποτέ,
θαυμαζόμενος ὑπὸ ἀπείρων λαῶν.

θεοτ. Ἡ τεκοῦσα τὴν ζωὴν ἡμῶν,
παρθενομῆτορ
θεόνυμφε κόρη,
τὰ θανατοῦντα νέκρωσον
πάθη τοῦ δούλου σου
καὶ τυχεῖν τῆς ἄνω τρυφῆς
μεσιτείαις σου θείαις ἀξίωσον.

---

42 φύλαττε] φύσιν Lq 46 παναγίου] ἁγίου Lq 47 ὑγιεῖ Wz ante θεοτ. trop. praebent Lq Wz Jb:
Τὰς πολλὰς ἡμῶν ἰάτρευσον,
πάτερ, ὀδύνας,
ψυχῶν καὶ σωμάτων
τοὺς πειρασμοὺς παράγαγε
καὶ εἰρηναίαν ζωὴν
καταπέμψαι (= κατάπεμψεν Lq) πᾶσιν ἡμῖν
τὸν φιλάνθρωπον Θεὸν ἱκέτευε.
54 τοὺς δούλου σου Lq Wz post oden γ′ in Wz sequitur κάθ.:
ἦχος α′ *Τὸν τάφον σου, σωτήρ,*
Θεράπων τοῦ Χριστοῦ
ἐναθλήσας νομίμως (cfr. app. crit. p. 299)

43-49 AA.SS. Maii VI (1688) 687 § 15: Ἀναστάσιός τις ὀνόματι, Βιζύην οἰκῶν, ξηρὰν ἐκ χρόνων τὴν χεῖρα ἐκέκτητο, πάντη τε ταύτῃ ἀκίνητος ἦν ..... Οὗτος κατῆρεν εἰς τὸν λιμένα τοῦτον τῆς ἀπαθείας ..... οὕτω τε πλήρης τὸ σῶμα καὶ ἄρτιος γίνεται, ὥστε Θεοφανίων ἐπικειμένων ἄμφω τῷ χεῖρε κινεῖν πρὸς ἔργα.

43-49 cfr. Matth. 12,10-13

ᾠδὴ δ′. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Ταῖς ῥοαῖς σου τοῦ αἵματος
ἱερωσύνης στολήν, θεόφρον,
λαμπροτέραν ἀπετέλεσας καὶ εἰσῆλθες
χαίρων εἰς τὰ ἄνω βασίλεια.

Τὸν παράλυτον ἤγειρας
σοὶ προσελθόντα, Χριστοῦ θεόφρον,
τὸν ἐκ βρέφους δὲ ἀκίνητον ἐπισκέψει
θείᾳ ἀρτιόδρομον ἔδειξας.

Τὰ μεγάλα θαυμάσια,
ἅπερ ὁ πάντων τελεῖ δεσπότης
διὰ σοῦ, μακαριώτατε, καθορῶντες,
δόξαν τῷ Θεῷ ἀναπέμπομεν.

θεοτ. Θεοτόκε, ἀμόλυντε
σκηνὴ τοῦ Λόγου, αὐτὸν δυσώπει
τοῦ φωτίσαι τῶν ὑμνούντων σε τὰς καρδίας
πίστει καὶ ἀεὶ δοξαζόντων σε.

ᾠδὴ ε′. *Ἀνάτειλόν μοι, κύριε,*

Ἀνέτειλας ὡς ἥλιος
φωτίζων τὴν ὑφήλιον
ἄθλων, μακάριε, λαμπρότησιν
καὶ θαυματουργημάτων

---

heirm. δ′ EE 107, n. 150, Andreae 59 λαμπροτέρα Lq 62 θεόφρον] θεράπον Lq Wz Jb 63 ἐκ] δὲ Wz ἀκίνωτον Lq 68 δόξα Lq Wz Jb 71 τοὺς ὑμνοῦντάς σε Lq τὰς om. Jb 72 πίστει ἀεὶ δοξάζοντας Lq
heirm. ε′ 106, n. 149, Andreae 75 ἄθλω Lq 76 τοῦ φωτίσαι τοὺς ὑμνοῦντά σε καὶ θαυματουργημάτων Lq

---

61-64 cfr. Matth. 8,5-8; 9,2-7

καὶ σκοτίζων δαίμονας
καὶ σκεδάζων ἅπασαν
τὴν ὁμίχλην τῶν παθῶν.

Καρκίνου πάθος ἔστησας,
αἱμόρρουν ἐθεράπευσας,
τοὺς ἡμιξήρους γεγονότας δὲ
καὶ πρὸς γῆν κεκυφότας,
ἔνδοξε, ὑγίωσας,
πίστει προσφυγόντας σου
τῶν λειψάνων τῇ σορῷ.

Ἀρρήτῳ χειρουργίᾳ σου
ὑδέρρου πάθος ἔστησας,
δαιμονικῆς φορᾶς ἀπέλυσας
ἄπειρα, μάρτυς, πλήθη

---

78 ἅπασιν Lq 80 Καρκίνου] σαρκίνου Lq πάθους Jb 81 καίμόρουν Wz ἐθεράπευσε Lq 82 ἡμιξέρους Lq 83 κεκυφότα Lq 85-86 προφυγότας σου τὸ λείψανῳ Lq 87-93 trop. om. Lq Wz Jb pro hoc aliud praebent Lq Jb:

Αἴγλης μεσιτείαις σου (= Ἁγίαις μεσιτείαις σου Jb)
ἁγίασον καὶ φώτισον
τοὺς ἐπορθρίζοντας, μακάριε,
τῷ θείῳ σου τεμένει
καὶ ἀνευφημοῦντάς σου (= σαι Lq)
τὰ λαμπρὰ παλαίσματα
καὶ θαυμάτων τὸ (= τὸν Lq) φαιδρόν.

80-86 AA.SS. 688 § 17: Κατ' ἐκείνῳ δὲ τῷ καιρῷ καρκίνον εἶχεν ἑτέρα, Μαρία τοὔνομα, καὶ τὸν εὐκτήριον τοῦτον καταδραμοῦσα νεών, ἀπρὶξ εἴχετο μέχρι τυχεῖν τῆς ἰάσεως ..... καὶ τοῦ νοσήματος ἀρρήτως ἰατρευθεῖσα παρὰ τοῦ μάρτυρος.

§ 18: Αἱμόρρους τοίνυν γυνὴ σεμνοτάτη ἐξ ἐτῶν ἑπτὰ τῇ ῥύσει μαραινομένη τοῦ αἵματος, ᾐσχύνετο ..... δρομαίως ἐπὶ τὰ τοῦ μάρτυρος ἵεται λείψανα, καὶ τούτοις ὑγιασθεῖσα .....

§ 19: Στέφανος γάρ τις στρατιώτης τοῦ ξίφους τῶν Ἀρμενίων ἡμίξηρος γεγονώς, ὅλος ἐπὶ γῆν συνκεκύφει καμπτόμενος· ἀλλ' ἀπῆλθεν ὀρθὸς καὶ ὁλόκληρος, παραμεμενηκὼς ὀλίγον τῷ ἰατρείῳ τοῦ μάρτυρος.

87-93 AA.SS. 689 § 20: Ἐνταῦθα ὑδροπική τις ἐτέθητο, καὶ ἰδοῦσα τὸν ἅγιον τῇ σμύλῃ τὰς βάσεις ἄκρας ἀναστομοῦντα διύπνησεν· ἦν γὰρ καθευδοῦσα ὅταν ἐχειρουργήθη παρὰ τοῦ μάρτυρος: ... Τούτου δὲ εἰς ἅπαξ ἐκκενωθέντος ἀσινὲς τὸ σῶμα κατέστη, καὶ τοῦ γυναίου ὀδυρμὸς ἐκ μέσου ἐγένετο.

πίστει θαυμαζόμενος·
ὅθεν εὐφημοῦμέν σε
συνελθόντες εὐσεβῶς.

θεοτ. Ἁγίασόν μου, δέσποινα,
τὸν νοῦν, θεοχαρίτωτε·
τὰς ἁμαρτίας μου ἐξάλειψον
ἐνθέῳ μεσιτείᾳ
καὶ τὸν νοῦν εἰρήνευσον
τῶν ἀτόπων λογισμῶν,
μητροπάρθενε ἁγνή.

ᾠδὴ ϛ'. *Μὴ καταποντισάτω με*

Παρέσεως ἀπέλυσας
τοὺς πιστῶς, ἔνδοξε,
τῷ τάφῳ πλησιάζοντας τῷ σῷ,
ἔστησας ἕλκη ποικίλα
καὶ πᾶσαν δαιμόνων καταιγίδα·
διὸ ὡς παμμέγιστον ἰατρὸν
δεδομένον ἐκ Θεοῦ
συνελθόντες ἀξίως τιμῶμέν σε.

Ἡ πάλαι ἀπιστήσασα
τὰ ἐν σοὶ θαύματα
τελούμενα, θεράπον τοῦ Χριστοῦ,
ἄφνω δαιμόνων ὁρᾶται

---

94 μου] με Lq 95 θεοχαρίτων τε Lq 99 προσβολαῖς κρουόμενον Lq προσβολαῖς κλονούμενον Wz Jb 100 τῶν ἀσάρκων δυσμενῶν Lq Wz Jb
heirm. ϛ' EE 105, n. 147, Andreae 101 φαρέσεως Lq ἀπέλασας Wz 104 ἕλκην Pv ποικίλων Wz 105 καταιγίδα] ἐκ θεοῦ Lq 106-107 vv. om. Lq 108 τιμήσωμεν Wz

---

109-116 AA.SS. 689-690 § 22: Τοῦτο γ' οὖν ἡ γυνὴ διαπαίξασα, καὶ χλεύην εἶναι τὸ πρᾶγμα νομίσασα, ἐξουθένει, ... πλατὺν σκεδάσασα γέλωτα, παιδίαν ἐποιεῖτο τὸ θέαμα ..... ἀλλ' ἀντὶ τοῦ ἀπρεποῦς μειδιάματος σκοτομήνην αὐτῇ κατεσκεύασεν, καὶ εἰς τοὐπίσω πεσοῦσα ἐξ ἀπίνης μεγάλα ἀνέκραξεν ..... προσήνεγκαν τῷ ἁγίῳ Θεράποντι ἐξομολογουμένην τὸ πλημμελές, καὶ ἀναγορεύουσαν. Ἀλλ' ἡμέρας πέντε καταμείνασα, παντὸς ἐλευθέρα νοσήματος ἦλθεν ἐπὶ τὰ ἴδια.

ἀθλίως φορᾷ κατασχεθεῖσα·
τῇ σῇ δὲ ἐνθέῳ ἐπισκοπῇ
θεραπεύεται, σοφέ,
τὸν τῶν ὅλων σωτῆρα δοξάζουσα.

Τὸν συντριβέντα, ἔνδοξε,
ταῖς πληγαῖς πάντοθεν
καὶ ἄφωνον τεθέντα πρὸς τὸν σὸν
ἅγιον οἶκον ἰάσω
ἁγίαις πρὸς Θεὸν μεσιτείαις·
τυφλοῖς ἐχορήγησας φωτισμὸν
καὶ ἀλάλοις τὸ λαλεῖν
ἐδωρήσω εἰς δόξαν Θεοῦ ἡμῶν.

θεοτ. Παρθενομῆτορ δέσποινα,
ἀληθῶς γέφυρα
μετάγουσα ἐκ γῆς πρὸς οὐρανόν,
πιστῶν τὰ πλήθη, παρθένε
ἁγία, ἁγίασον τὸν νοῦν μου
καὶ δεῖξον τὴν τρίβον μοι τῆς ζωῆς,
δυσωποῦσα τὸν ἐκ σοῦ
ὑπὲρ λόγον τεχθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν.

---

113 φορᾷ] φθορᾷ Wz 114 ἐνθέως Lq 115 σοφοὶ Lq 119 τὸ Lq 121 πρὸς Θεὸν ἁγίαις Lq Wz πρὸς Θεὸν ἁγίαις μεσιτείαις σου, σοφὲ Jb 126 ἀληθὴς Lq Wz Jb 130 τὸν τρίβον τῆς ζωῆς Lq καὶ δεῖξον μοι τρίβον τὴν τῆς ζωῆς Jb 132 ἡμῶν om. Lq Wz Jb

---

117-121 AA.SS. 690 § 24: ..... τέλος ἐπιλαμβάνονται τοῦ ἀνδρὸς καὶ τοσοῦτον ἔτυψαν, καὶ ξύλοις παχέσι κατέαξαν καὶ συνέτριψαν, ὥστε ἡμιθανῆ παραρριφῆναι τὸν ἄνθρωπον ..... Ἀλλ' ὁ μάρτυς αὐτὸν διὰ τῆς νυκτὸς ἰασάμενος, ἡμέρας ὑποφαινούσης ἀπέλυσεν αὐτὸν ἀπελθεῖν ὑγιῆ.

123-124 AA.SS. 689 § 21: Ἄλλος ἕτερος, Μαρῖνος ὄνομα αὐτῷ, πρὸς τῇ ἀφωνίᾳ καὶ πᾶσα ἀφῃρημένος ἔμφυτον κίνησιν, προσῆλθε τῷ θεσπεσίῳ τούτῳ ..... ἠλείφθη οὗτος τῷ τῶν λειψάνων ἀπομυρίσματι, καὶ τοῦτο παθὼν ὅλος γέγονεν ὑγιής.....

122-124 cfr. Marc. 8,22-24; 7,32-37

Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ταῖς ἀδύτοις λάμψεσι τῶν ἰαμάτων
ἐκδιώκεις πάντοτε
....

f. 99v ‖ ᾠδὴ ζ'. *Μὴ παραδώῃς ἡμᾶς*

Μὴ προσκυνήσας γλυπτοῖς,
βασάνων ὑπέστης τρικυμίαν
καὶ θάνατον, παμμάκαρ,
τῆς ζωῆς πρόξενον
καὶ μετεβιβάσθης πρὸς ἀθανάτους
ἐν χαρᾷ, ὅσιε,
ἀληθῶς νῦν κατοικίας ὑμνεῖν
τὸν ὑπερύμνητον εἰς τοὺς αἰῶνας.

Μαρτυρικαῖς καλλοναῖς
ἐμπρέπων θαυματουργίαις λάμπεις,
ἰώμενος τὰς νόσους
τῶν προστρεχόντων σοι,
πνεύματα διώκων τῆς πονηρίας,
βοηθῶν, ἅγιε,
τοῖς ἐν θλίψεσι περιπίπτουσιν
καὶ βίου συμφοραῖς καὶ τρικυμίαις.

Ἱεραρχῶν καλλονή,
μαρτύρων κρηπίς, Θεοῦ θεράπον,
ἀγγέλων συμπολῖτα,
ἁγίων σύσκηνε,

κάθ. cfr. app. crit. p. 301 ut κοντάκ.

heirm. ζ' EE 106, n. 149, Andreae 133 προσκυνήσης Lq 139 νῦν om. Lq Wz Jb κατοικήσας ὑμνεῖ Wz 140 τοὺς om. Wz 143 τοὺς Wz 145 πνεῦμα Lq 146 βοηθὸν Lq Wz Jb 147 θλίψει Wz 148 τρικυμίας Wz 150 Θεοῦ] Χριστοῦ Jb

τῇ σκηνῇ σου ταύτῃ τοὺς εἰσιόντας
καὶ τὰς σάς, ἔνδοξε,
ἀριστείας τὰς μεγίστας λαμπρῶς
ἀνακηρύττοντας κινδύνων σῶζε.

θεοτ. Μὴ καταλίπῃς ἡμᾶς
εἰς τέλος τοὺς σοὺς ἀχρείους δούλους,
ἁγνὴ θεοκυῆτορ,
εἰς σὲ ἐλπίζοντας,
ἐν παντὶ δὲ χρόνῳ βοήθει, φρούρει,
τῶν πιστῶν στήριγμα,
θεοτόκε ἀειπάρθενε,
ὅπως ὑμνῶμέν σε εἰς τοὺς αἰῶνας.

ᾠδὴ η'. *Τὰ σύμπαντα, δέσποτα,*

Μαρτύρων ἐν αἵματι
τὴν ἱερὰν βάψας στολήν σου,
ταύτην κατεφαίδρυνας,
θεόφρον ἱεράρχα,
μεθ' ἧς εἰσελήλυθας
εἰς τὸν οὐράνιον δεῖπνον,
εἰς τὸν θεῖον νυμφῶνα,
εἰς τὰ ἅγια
τῶν ἁγίων, ἀπαύστως
δοξάζων Χριστὸν τὸν Θεὸν ἡμῶν.

Μεγάλως ἠγάπησας
τὸν ἀγαπήσαντά σε Λόγον
καὶ αἷμα τὸ ἴδιον
ἐξέχεας προθύμως
καὶ δρόμον τὸν ἔνθεον

153 ταύτης Lq 155 μεγίστους Pv 160 εἰσελπίζοντας Lq 161 φρούρει βοήθει Lq Wz Jb 162 τὸ στήριγμα Lq Wz Jb 164 ὑμνούμενος Pv ὑμνοῦμέν σε Lq Wz Jb εἰς πάντας τοὺς Wz

heirm. η' EE 105, n. 147, Andreae 167 καταφαίδρυνας Lq 173 ἀπαύστως] δοξάζων Lq Jb δοξάζω Wz 174 δοξάζων] ἀπαύστως Lq Wz Jb 177 αἷμα] ἅμα Lq

καλῶς ἐτέλεσας, μάρτυς·
διὰ τοῦτο μεγάλως
σὲ ἐδόξασεν
ὁ δοξάζων ἀξίως,
Θεράπον, τοὺς τοῦτον δοξάζοντας.

Διώκεις τὰ πνεύματα
τῆς πονηρίας καθ' ἑκάστην,
λύεις ἀρρωστήματα,
καθαίρεις μαλακίας,
ἀνορθοῖς ἐν χάριτι
τοὺς παρειμένους εὐχαῖς σου,
ὀφθαλμοὺς διανοίγεις
καὶ κωφεύοντα,
ἀξιάγαστε, ὦτα·
διό σε ἐν πίστει δοξάζομεν.

θεοτ. Συνέλαβες, ἄχραντε,
τὸν συνοχέα τῶν ἁπάντων,
ἔτεκες τὸν λάμψαντα
πατρὸς προεωσφόρου
καὶ γάλακτι ἔθρεψας
πᾶσαν τὸν τρέφοντα φύσιν·
διὰ τοῦτό σε πίστει
μακαρίζομεν
καὶ συμφώνως τιμῶμεν,
Μαρία, κυρία τῆς κτίσεως.

180 καλὸς Wz 184 τοὺς] τὶς Lq 185-194 pro hoc trop. aliud praebent Lq Wz Jb:

Θεράπευσον, ἅγιε,
τὰς τῶν ψυχῶν ἡμῶν ὀδύνας,
ἴασαι δεόμεθα
τὰς νόσους τῶν σωμάτων,
τὰς θλίψεις παράγαγε,
πάντων ἡμῶν τὰς αἰτήσεις,
ἃς αἰτούμεθα (= ποιούμεθα Wz Jb) πίστει
ἀποπλήρωσον,
δυσωπῶν τὸν δεσπότην (— τὸν δεσπότην om. Lq)
τῶν ὅλων καὶ κτίστην καὶ κύριον.

196 συνοχέαν Lq 204 Μαρία] μακαρία Jb

ᾠδὴ θ'. *Ἐποίησε κράτος*

Ἰδεῖν ἠξιώθης
τὸν ποθούμενον Χριστόν·
ἀπέλαβες τὴν ἄνω βασιλείαν,
συνήφθης ταῖς στρατιαῖς
τῶν ἀΰλων λειτουργῶν,
ἐν πόλει ἐσκήνωσας Θεοῦ,
ἔνθα ἑορταζόντων
ἡ φωνὴ ἀκούεται
ἐν ἀγαλλιάσει.

Ὡς κρίνον εὐῶδες,
ὥσπερ ῥόδον μυστικόν,
ὡς εὔοσμος κυπάρισσος ὠράθης,
ὡς μύρον πολυτελές,
ὥσπερ θῦμα ἱερὸν
τραπέζῃ Θεοῦ προσενεχθείς,
θεόφρον ἱεράρχα,
ἀθλητῶν ἀγλάϊσμα,
τῶν θαυμάτων βρύσις.

Συνήφθης ἀγγέλοις,
ἠριθμήθης προφητῶν,
πανένδοξε, χορείαις, ἱεράρχα,
πατριαρχῶν, ἀθλητῶν
καὶ παντοίων ἐκλεκτῶν,
μεθ' ὧν ἡμῶν μέμνησο ἀεὶ
τῶν ἀνυμνολογούντων
τοὺς λαμπροὺς ἀγῶνάς σου,
τοῦ Θεοῦ θεράπον.

Ἡ μνήμη σου πᾶσιν
ὥσπερ ἥλιος φαιδρὸς
ἀνέτειλε καὶ κόσμον καταυγάζει,

---

heirm. θ' EE 106, n. 149, Andreae   208 συνήφθητε στρατιαῖς Lq στρατίαις Wz   216 εὔοσμον κυπάρισσον Lq   228 μέμνησον Lq   μνησω Pv   232-240 trop. om. Wz

θαυματουργὲ ἰατρέ,
τῶν ἐν θλίψει βοηθέ·
ἣν πίστει τελοῦντας, φωτισμοῦ
ἐπιτυχεῖν δυσώπει
αἰωνίου, ἔνδοξε,
καὶ χαρᾶς ἀλήκτου.

θεοτ.

Φωτί σου, παρθένε,
φωταγώγησον κἀμὲ
τὸν κείμενον ἐν σκότει ἀπωλείας
καὶ ματαιώσει νοὸς
καὶ ῥαθύμως τὴν ζωὴν
ἀεὶ διανύοντα, ἁγνή,
ὅπως ὑμνολογῶ σε,
ἣν ὑμνεῖ δοξάζουσα
βροτῶν πᾶσα φύσις.

---

237 τελούντων φωτισμὸν Lq   φωτισμὸν Jb   238 δυσωπῶ Lq   245 ῥάθυμος Lq   246 ἀεὶ διανύων πάναγνε Lq   248 ἣν ὑμνεῖν Lq

IN SANCTUM ISAACIUM

Synaxarium, 717-718: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαακίου πρεσβυτέρου, τοῦ ὁμολογητοῦ. Οὗτος ὥρμητο ἐξ ἀνατολῶν, ἐκ βρέφους τὸν τοῦ Κυρίου ζυγὸν ἑλόμενος· ὃς συναντήσας τῷ βασιλεῖ Οὐάλεντι κινήσαντι κατὰ τῶν Γότθων ⟨καὶ στρατόπεδα⟩ τρακτευσαμένῳ, αὖθις δὲ ἐν Κωνσταντινουπόλει εἰσιόντι εἶπεν· « Ἄνοιξον τοῖς ὀρθοδόξοις τὰς ἐκκλησίας, ὦ βασιλεῦ, εἰ βούλει ἐκ τοῦ πολέμου ζῶν ὑποστρέψαι ». Ὀργισθεὶς οὖν ὁ βασιλεὺς προσέταξε τηρεῖσθαι τὸν ἅγιον ἐν τῇ φρουρᾷ, ἕως οὗ ὑποστρέψας τιμωρήσει αὐτόν. Ὁ δὲ ἅγιός φησιν· « Εἰ σὺ ὑποστρέψεις, οὐ λελάληκεν ἐν ἐμοὶ ὁ Θεός· » — ὑπῆρχε γὰρ ὁ ἅγιος διαβόητος καὶ μέγας σημειοφόρος — « φεύγων γὰρ ἀπὸ προσώπου τῶν ἐχθρῶν σου, διὰ πυρὸς δέξῃ τὴν καταστροφὴν τοῦ βίου σου »· ὃ δὴ καὶ γέγονε, τῷ προφητικῷ ῥητῷ τοῦ ἁγίου εἰς πέρας. Τὸν ⟨γὰρ⟩ πόλεμον ἐλθὼν συνάψαι καὶ τραπείς, ἐν ἀχυρῶνι προσφυγὼν ἐκάη, ἐν αὐτῇ τῶν Γότθων ἐμπρησάντων αὐτόν· ⟨καὶ⟩ ἀπέρρηξε τὴν πονηρὰν ψυχήν. Ὁ δὲ ἅγιος πλεῖστα θαυματουργήσας καὶ πολλοὺς ἐκ κινδύνων ψυχοφθόρων διασώσας, ἐν εἰρήνῃ ὁσίως ἀνεπαύσατο ἐν Κυρίῳ.

Crypt. Δ.α. IX	=	Cl,	ff. 131-133
Mess. gr. 136	=	Mf,	ff. 145ᵛ-148ᵛ
Paris. Suppl. gr. 564	=	Sd,	ff. 164ᵛ-167
Vat. gr. 1510	=	Vs,	ff. 303-304ᵛ
Vallic. gr. E 55	=	Ec,	ff. 103-103ᵛ

Ὁ κανών· Ἁγιοπολίτου.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

Τῶν τῆς ἐρήμου ὁρίων
ὑπερκύψας, ὅσιε,

tit. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαακίου τῶν Δαλμάτων Sd Vs .... Ἰσακίου Cl Mf Ὁ κανών.... Γερμανοῦ Vs nomen auctoris om. Mf Sd Ec, duobus exscissis foliis, mutilum tradit canonem usque ad v. 96

heirm. α' EE 226, n. 324, Germani 1 ὁρίων] χωρίων Mf 2 ὑπερκύπτων Mf

1-5,31-35 AA.SS. Maii VII (1688) 250 §4: ... ἀκούει φωνῆς, παρακελευομένης κατιέναι τῆς ἐρήμου καὶ ἐλθεῖν ἐν Κωνσταντινουπόλει. Ὁ δὲ μὴ ἀπιστήσας τῷ

πολιτείαν αἱρέσεως
ἐκπορθήσας, ἔνδοξε,
ἐστήριξας τὴν πίστιν τοῦ Χριστοῦ.

Δαυϊτικῶς ἐναντίον
βασιλέων, ἔνδοξε,
λαλῶν οὐ κατῃσχύνθης ποτέ,
τὴν Χριστοῦ θελγόμενος
ἐκκλησίαν στηρίζεσθαι.

Ἐν τῷ βορβόρῳ τῆς λίμνης
προσριφείς, πανεύφημε,
μαργαρίτης διέλαμψας
τῇ αὐγῇ τοῦ πνεύματος
φαιδρυνόμενος, ἔνδοξε.

Τῶν ἀκανθῶν ἐν τῷ μέσῳ
συλληφθείς, σεβάσμιε,
ὥσπερ ῥόδον ἡδύπνοον
εὐωδιάζον, πάντας πιστοὺς
ἀρετῶν σου ἐκόσμησας.

Ἐν τῇ τῆς πίστεως, πάτερ,
ῥιζωθεὶς ἀρούρᾳ πιστῶς,
διδαγμάτων τοῖς κλάδοις σου
τοὺς καρποὺς ἐξήρανας
Ἀρείου τῆς αἱρέσεως.

3 πολιτείαν] πολιορκίαν Sd αἱρέσεων Vs 4 ἐκπορθῶν ἐστήριξας Mf Vs ἔνδοξε] ἅγιε Sd 5 τὴν ποίμνην τοῦ Χριστοῦ εὐσεβῶς Mf Vs 6 ἐναντίων Mf Sd 7 βασιλέως Sd 8 κατῃσχύνθη Vs 11-15 trop. om. Mf Vs 11 λίμνης] πλάνης Sd 16-20 trop. om. Mf Sd Vs 21-25 trop. om. Mf Sd hoc trop. diversum in Vs:

Ἐν τῇ τῆς πόλεως ταύτης
ῥιζωθεὶς ἀρούρᾳ, σοφέ,
τοὺς καρποὺς ἀπεξήρανας
τῆς Ἀρείου αἱρέσεως
διδαγμάτων τοῖς πόνοις σου.

κελεύσαντι, κάτεισιν ἐκ τῆς ἐρήμου, καὶ καταλαβὼν τὴν προλεχθεῖσαν πόλιν, εὗρεν τῆς θηριομάχου αἱρέσεως τὸν κατακλυσμὸν τῶν ψυχῶν.

11-15 AA.SS. 251 § 6: Ἀκοντισθεὶς δὲ ὁ γενναῖος ὁμολογητὴς Ἰσαάκιος ἐν τῷ θανατικῷ τῆς παγίδος βορβόρῳ, αὐτὸς μὲν ἔπασχεν οὐδὲν δεινόν· ἰδοὺ γὰρ τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐπιστάντες δύο ἄγγελοι ἀνέσπασαν αὐτὸν ἐκ τοῦ βορβόρου....

6-10 I Regn. 24,9-23

θεοτ. Ἐν τῇ γαστρὶ συλλαβοῦσα
τὸν ἀχρόνως, ἄχραντε,
ἐκ πατρὸς γεννηθέντα υἱόν,
βρέφος τοῦτον, ἄμωμε,
ἀσπόρως ἀπεκύησας.

f. 131ᵛ ‖ ᾠδὴ β′. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ἐκήρυξας
ἐπιστὰς ἐξ ἐρήμου
ἐνταῦθα, πάτερ σοφέ,
τὴν ὀρθόδοξον πίστιν,
ἐλάσας κακοδοξίαν ἐχθροῦ.

Οὐκ ἔπτηξας
βασιλέως τυράννου
τὰς ἀπειλὰς καρτερῶς,
ἀλλὰ στὰς ἀνενδότως,
τὴν τούτου κακίαν ᾔσχυνας.

Τῆς πίστεως
ἐκτελέσας τὸν δρόμον,
κομίζῃ, πάτερ σοφέ,
τοὺς τῆς νίκης στεφάνους
ἀξίως παρὰ Χριστοῦ τοῦ Θεοῦ.

τριαδ. Ἄκτιστε,
τρισυπόστατε φύσις,
ἡ τρία οὖσα καὶ ἕν,
τοὺς πιστῶς σε τιμῶντας
περίσωζε τῶν κινδύνων ἀεί.

26-30 Mf Vs aliud θεοτ. praebent:
Διὰ παντός, θεοτόκε,
τὸν ἐκ σοῦ ἱκέτευε MR VI, 532 30 ἀσπόρως | παρθένε Sd
oden β′ om. Mf Sd Vs
heirm. β′ EE 226, n. 324, Germani

θεοτ. Ὑμνοῦμέν σε
